εἶναι γενέσθαι, οἵτινες, ἐπειδὴ θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὑτῶν κατέλιπον. Ὅμως δ᾽ ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας τὸν πάτριον νόμον, ὀλοφύρεσθαι τοὺς θαπτομένους.

---

# Γ΄. Κατὰ Ἐρατοσθένους, τοῦ γενομένου τῶν τριάκοντα.

## Ὃν αὐτὸς εἶπε Λυσίας.

### Ὑπόθεσις.

Ἐρατοσθένης, εἷς ἦν τῶν τριάκοντα τυράννων· δικάζεται δὲ ὁ ῥήτωρ με[illegible] ὡς φονεύσαντος τὸν ἀδελφὸν Πολέμαρχον μετὰ τὸ ἀποκατασταθῆναι ἐν Ἀθήναις τὴν δημοκρατίαν ὑπὸ Θρασυβούλου τοὺς τυράννους ἐκβαλόντος· τοῦτον δή φασι τὸν λόγον αὐτὸν εἰρηκέναι Λυσίαν, καὶ πρῶτον δὲ εἰρηκέναι αὐτόν· ὅσους γὰρ συνετίθει ὑπὲρ ἑτέρων, ἐκεῖνοι ἔλεγον· τοῦτον δὲ οἰκείαν ὑπόθεσιν ἔχοντα αὐτὸν εἰπεῖν ἔδει.

§ 1. Οὐκ ἄρξασθαί μοι δοκεῖ ἄπορον εἶναι, ὦ ἄνδρες δικασταί, τῆς κατηγορίας, ἀλλὰ παύσασθαι λέγοντι. Τοιαῦτα αὐτοῖς[2] τὸ μέγεθος καὶ τοσαῦτα τὸ πλῆθος εἴργασται, ὥστε μήτ᾽ ἂν ψευδόμενον δεινότερα τῶν ὑπαρχόντων κατηγορῆσαι, μήτε τἀληθῆ βουλόμενον εἰπεῖν, ἅπαντα δύνασθαι· ἀλλ᾽ ἀνάγκη ἢ τὸν κατήγορον ἀπειπεῖν, ἢ τὸν χρόνον ἐπιλειπεῖν. Τοὐναντίον δέ μοι δοκοῦμεν πείσεσθαι ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ.[3] Πρότερον μὲν γὰρ ἔδει τὴν ἔχθραν τοὺς κατηγοροῦντας ἐπιδεῖξαι, ἥτις εἴη πρὸς τοὺς φεύγοντας·[4] νυνὶ δὲ παρὰ τῶν φευγόντων χρὴ πυνθάνεσθαι, ἥτις ἦν αὐτοῖς πρὸς τὴν πόλιν ἔχθρα, ἀνθ᾽ ὅτου[5] τοιαῦτα ἐτόλμησαν εἰς αὐτὴν ἐξαμαρτάνειν. Οὐ μέν τοι ὡς οὐκ ἔχων οἰκείας ἔχθρας καὶ συμφοράς, τοὺς λόγους ποιοῦμαι, ἀλλ᾽ ὡς ἅπασι[6] πολλῆς ἀφθονίας οὔσης ὑπὲρ τῶν ἰδίων ἢ ὑπὲρ τῶν δημοσίων ὀργίζεσθαι.

---

§ 1. 2. Αὐτοῖς.) Τοῖς τριάκοντα δηλαδὴ τυράννοις. — 3. Ἢ ἐν τῷ πρὸ τοῦ χρόνῳ.) Ἢ ὅ,τι ἔπασχον οἱ ἄνθρωποι ἐν τῷ πρότερον χρόνῳ· τὸ Πρὸ τοῦ ἔστιν ἀντὶ τοῦ πρὸ τούτου, τοῦ χρόνου δηλ. καὶ διὰ τὸ ἐπίτομον λαμβάνεται ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ Πρότερον· οὕτω δὲ καὶ πολλὰ ἄλλα ὀνόματά τε καὶ λόγοι ὅλοι, ὥσπερ ἐστὶ τὸ Τοῦτ᾽ ἔστι τὸ ἐπίτομον διώκουσιν ὡς ἐπίῤῥημα λαμβάνεταί τε καὶ λέγεται. — 4. Πρὸς τοὺς φεύγοντας.) Διώκων μὲν λέγεται ὁ κατηγορῶν καὶ εἰς δικαστήριον ἄγων τὸν ἀντίδικον, φεύγων δὲ ὁ κατηγορούμενος καὶ εἰς κρίσιν ἀγόμενος· ἐκ μεταφορᾶς ληφθέντων τῶν διωκόντων καὶ φευγόντων τοὺς διώκοντας τῶν ὀνομάτων τούτων. — 5. Ἀνθ᾽ ὅτου.) Ἀντὶ ἀνθ᾽ ἧς τινος· ἐχρήσατο δὲ τῷ οὐδετέρῳ, διότι καὶ τὸ Ἔχθρα κατὰ φωνὴν μὲν ἐστὶ θηλυκόν, σημαινόμενον δ᾽ ἔχει οὐδετέρου· πρὸς τὸ σημαινόμενον ἄρα ἀναφέρεται κείσθω δέ τοι ἐννοούμενον, ἔργου, ἢ γεγονότος. — 6. Ἀλλ᾽ ὡς ἅπασι) Ἀλλὰ ποιοῦμαι τοὺς λόγους, ἐπειδὴ ἅπασιν ἐστὶ πολλὴ ἀφθονία ὀργίζεσθαι ὁμοίως ὑπέρ τε τῶν ἰδίων καὶ δημοσίων κακῶν· τὸ γὰρ Οὐ μᾶλλον ἢ τὸ Ὁμοίως σημαίνει· ὃ δὴ

Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες δικασταί, οὔτ' ἐμαυτοῦ πώποτε, οὔτε ἀλλότρια πράγματα πράξας,[7] νῦν ἠνάγκασμαι ὑπὸ τῶν γεγενημένων τούτου κατηγορεῖν·[8] ὥστε πολλάκις εἰς πολλὴν ἀθυμίαν κατέστην, μὴ διὰ τὴν ἀπειρίαν ἀναξίως καὶ ἀδυνάτως ὑπὲρ τοῦ ἀδελφοῦ καὶ ἐμαυτοῦ τὴν κατηγορίαν ποιήσωμαι. Ὅμως δὲ πειράσομαι ὑμᾶς ἐξ ἀρχῆς ὡς ἂν δύνωμαι δι' ἐλαχίστων διδάξαι.

§ 2. Οὑμὸς[2] πατὴρ Κέφαλος ἐπείσθη μὲν ὑπὸ Περικλέους εἰς ταύτην τὴν γῆν ἀφικέσθαι·[3] ἔτη δὲ τριάκοντα ᾤκησε καὶ οὐδενὸς πώποτε οὔτε ἡμεῖς οὔτε ἐκεῖνος δίκην οὔτε ἐδικασάμεθα,[4] οὔτε ἐφεύγομεν· ἀλλ' οὕτως ᾠκοῦμεν δημοκρατούμενοι, ὥστε μήτε εἰς τοὺς ἄλλους ἐξαμαρτάνειν, μήτε ὑπὸ τῶν ἄλλων ἀδικεῖσθαι. Ἐπειδὴ δ'[5] οἱ τριάκοντα, πονηροὶ καὶ συκοφάντες ὄντες, τὴν ἀρχὴν κατέστησαν, φάσκοντες χρῆναι τῶν ἀδίκων καθαρὰν ποιῆσαι τὴν πόλιν, καὶ τοὺς λοιποὺς πολίτας ἐπ' ἀρετὴν καὶ δικαιοσύνην τραπέσθαι· καὶ τοιαῦτα λέγοντες, οὐ τοιαῦτα ποιεῖν ἐτόλμων·[6] ὡς ἐγὼ πρῶτον περὶ τῶν ἐμαυτοῦ εἰπών, καὶ περὶ τῶν ὑμετέρων ἀναμνῆσαι[7] πειράσομαι.

§ 3. Θέογνις γὰρ καὶ Πείσων ἔλεγον ἐν τοῖς τριάκοντα περὶ τῶν μετοίκων, ὡς εἶέν τινες[2] τῇ πολιτείᾳ ἀχθόμενοι· καλλίστην οὖν εἶναι πρόφασιν τιμωρεῖσθαι μὲν δοκεῖν, τῷ δ' ἔργῳ χρηματίζεσθαι· πάντως δὲ[3] τὴν μὲν πόλιν γενέσθαι τὴν ἀρχὴν δεῖσθαι χρημάτων. Καὶ τοὺς ἀκούοντας οὐ χαλεπῶς ἔπειθον. Ἀποκτιννύναι μὲν γὰρ

---

καὶ προσετέθη ἐλλεῖπον ἐν ταῖς ἄλλαις ἐκδόσεσι. — 7. Πράξας.) Χωρὶς τοῦ πρᾶξαί ποτε ἢ ἴδιά μου πράγματα, ἢ ἀλλότρια, νῦν ἠνάγκασμαι. — 8. Τούτου κατηγορεῖν.) Τοῦ Ἐρατοσθένους δηλ. πρῶτον μὲν κοινὴ ἐγένετο ἡ κατηγορία πρὸς τοὺς τριάκοντα τυράννους ὡς πάντων τῶν κακῶν αἰτίους, νῦν δὲ πρὸς Ἐρατοσθένην μετέφερε τὸν λόγον, ὡς συνεργήσαντα πρὸς τὸν φόνον τοῦ ἀδελφοῦ.

§ 2. 2. Οὑμός.) Ἀντὶ ὁ ἐμός, κατὰ κρᾶσιν τοῦ ο καὶ ε εἰς ου. — 3. Ἀφικέσθαι.) Ἦν γὰρ Συρακούσιος, ὅθεν καὶ Λυσίας ἐν Συρακούσαις γεννηθεὶς ἦλθεν εἰς Ἀθήνας μετὰ τοῦ πατρὸς Κεφάλου. — 4. Δίκην οὔτε ἐδικασάμεθα.) Δίκη σημαίνει, ἣν ἐπάγει τις κατά τινος ὑπὲρ ἰδίων οὖσαν πραγμάτων· οὔτε οὖν ἡμεῖς οὔτε ὁ πατὴρ εἰς κρίσιν τινὰ ἠγάγομεν ὑπὲρ ἰδίων πραγμάτων, οὐδ' ὑπό τινος εἰσήχθημεν εἰς κριτήριον πώποτε· ἐκ τούτου οὖν δῆλον ὡς τοῦτον εἴρηκε τὸν λόγον ὁ Λυσίας αὐτός. — 5. Ἐπειδὴ δ'.) Μετὰ τὴν περίοδον ταύτην ἐννοείσθω, ἠνάγκασμαι δικάσασθαι, εἰς ἀπόδοσιν· ἄλλως γὰρ ἀξύνετα καὶ ἀσυνάρτητα· σχῆμα δὲ τοῦτο τὸ μετὰ τοσαῦτα ἐπιλείπεσθαι τῆς ἀποδόσεως. — 6. Ποιεῖν ἐτόλμων.) Τούτῳ ἐχρήσατο τῷ ῥήματι τὴν κακίαν αὐτῶν δεικνύων. — 7. Ἀναμνῆσαι.) Διὰ παραδειγμάτων διδάξαι, ὧν ὑμᾶς ἀναμνήσω.

§ 3. 2. Ὡς εἶέν τινες.) Τῶν μετοίκων δηλ. μέτοικοι δὲ ἐλέγοντο ἐν Ἀθήναις οἱ ἐξ ἄλλης γῆς ἐλθόντες καὶ εἰς Ἀθήνας οἰκήσαντες· πᾶς γὰρ καταλιπὼν τὴν ἰδίαν πατρίδα, καὶ ἄλλην οἰκῶν μέτοικος λέγεται· τοιοῦτος ἦν ἐν Ἀθήναις καὶ Κέφαλος ὁ πατὴρ Λυσίου, αὐτός τε Λυσίας καὶ ὁ ἀδελφὸς Πολέμαρχος, Συρακούσιοι ὄντες. — 3. Πάντως δέ.) Ὁ Δὲ αἰτιολογικός, ἔχων ἐννοούμενον τὸ Ἔλεγον· τὸ δὲ Τὴν ἀρχὴν κατ' ἔλλειψιν τῆς Κατὰ λέγεται· ὁ νοῦς· Πάντως δὲ ἔλεγον ἵν' ἡ πόλις διορθωθῇ ἐν πρώτοις δεῖται χρημάτων· ὁ δὲ Μὲν παρέλκει· σύνηθες

ἀνθρώπους, περὶ οὐδενὸς ἡγοῦντο·[4] λαμβάνειν δὲ χρήματα περὶ πολλοῦ ἐποιοῦντο.[5] Ἔδοξεν οὖν αὐτοῖς[6] δέκα συλλαβεῖν· τούτων δὲ δύο πένητας, ἵνα αὐτοῖς ᾖ πρὸς τοὺς ἄλλους ἀπολογία, ὡς οὐ χρημάτων οὕνεκα ταῦτα πέπρακται, ἀλλὰ συμφέροντα τῇ πολιτείᾳ γεγένηται· ὥσπερ τι τῶν ἄλλων εὐλόγως πεποιηκότες.[7]

§ 4. Διαλαβόντες[2] δὲ τὰς οἰκίας, ἐβάδιζον· καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα κατέλαβον, οὓς ἐξελάσαντες Πείσωνί με παραδιδόασιν· οἱ δὲ ἄλλοι εἰς τὸ ἐργαστήριον ἐλθόντες, τὰ ἀνδράποδα ἀπεγράφοντο. Ἐγὼ δὲ Πείσωνα μὲν ἠρώτων, εἰ βούλοιτό με σῶσαι χρήματα λαβών· ὁ δ' ἔφασκεν, εἰ πολλὰ εἴη. Εἶπον οὖν, ὅτι τάλαντον ἀργυρίου ἕτοιμος εἴην δοῦναι. Ὁ δ' ὡμολόγησε ταῦτα ποιήσειν. Ἠπιστάμην μὲν οὖν,[3] ὅτι οὔτε θεοὺς οὔτε ἀνθρώπους νομίζει,[4] ὅμως δ' ἐκ τῶν παρόντων ἐδόκει μοι ἀναγκαιότατον εἶναι πίστιν παρ' αὐτοῦ λαβεῖν· ἐπειδὴ δὲ ὤμοσεν ἐξώλειαν ἑαυτῷ καὶ τοῖς παισὶν ἐπαρώμενος, λαβὼν τὸ τάλαντον μὲ σώσειν, εἰσελθὼν εἰς τὸ δωμάτιον τὴν κιβωτὸν ἀνοίγνυμι, Πείσων δ' αἰσθόμενος[5] εἰσέρχεται, καὶ ἰδὼν τὰ ἐνόντα, καλεῖ τῶν ὑπηρετῶν δύο, καὶ τὰ ἐν τῇ κιβωτῷ λαβεῖν ἐκέλευσεν. Ἐπεὶ δὲ οὐχ ὅσον[6] ὡμολογήκειν εἶχεν, ὦ ἄνδρες δικασταί, ἀλλὰ τρία τάλαντα ἀργυρίου καὶ τετρακοσίους Κυζικηνούς, καὶ ἑκατὸν Δαρικούς, καὶ φιάλας ἀργυρίου τέσσαρας, ἐδεόμην αὐτοῦ ἐφόδιά μοι δοῦναι. Ὁ δ' ἀγαπήσειν[7] μ' ἔφασκεν, εἰ τὸ σῶμα σώσω. Ἐξιοῦσι δέ μοι καὶ Πείσωνι, ἐπιτυγχάνει[8] Μηλόβιός τε καὶ Μνησιθείδης ἐκ τοῦ ἐργαστηρίου ἀπιόντες· καὶ καταλαμβάνουσι πρὸς αὐταῖς ταῖς θύραις, καὶ ἐρωτῶσιν, ὅποι βαδίζοιμεν. Ὁ δ' ἔφασκεν, εἰς τὰ τοῦ ἀδελφοῦ[9] τοῦ ἐμοῦ, ἵνα καὶ τὰ ἐν ἐκείνῃ τῇ οἰκίᾳ σκέψηται. Ἐκεῖνον μὲν οὖν ἐκέλευον βαδίζειν, ἐμὲ δὲ μεθ' αὐτῶν ἀκολουθεῖν[10] εἰς Δαμνίππου.[11] Πείσων δὲ προσελθὼν σιγᾶν μοι παρεκελεύετο, καὶ θαῤῥεῖν, ὡς ἥξων

---

δὲ τοῦτο Λυσίᾳ. — 4. Περὶ οὐδενὸς ἡγοῦντο.) Εἰς τὸ οὐδὲν ἐλογίζοντο κατεφρόνουν. — 5. Περὶ πολλοῦ ἐποιοῦντο.) Μέγα τε ἐλογίζοντο, καὶ μεγίστην εἶχον περὶ τούτου φροντίδα. — 6. Ἔδοξεν οὖν αὐτοῖς.) Οὕτω δὴ καὶ Ξενοφ. Ἑλλην. βιβλ. Β'. κεφ. γ'. 21. ταῦτα λέγει. — 7. Ὥσπερ τι . . . πεποιηκότες.) Ὡς εἰ ἐποίησάν τι τῶν ἄλλων μετὰ λόγου.

§ 4. 2. Διαλαβόντες.) Διαλαχόντες, διαμερίσαντες δηλ. τὰς οἰκίας, καθ' ἃς ἕκαστον ἔδει πορεύεσθαι ἐβάδιζον. — 3. Μὲν οὖν.) Βεβαιωτικὸν ἀντὶ Πάντως. — 4. Νομίζει.) Νόμιμον κρίνει· τοῦτ' ἔστιν· οὐκ ἔχειν νόμον σέβεσθαι θεούς, αἰδεῖσθαι ἀνθρώπους. — 5. Αἰσθόμενος.) Ἐμὲ ἀνοιγνῦντα τὴν κιβωτόν· ἢ γοῦν, πολὺ ὂν ἐν αὐτῇ τὸ ἀργύριον. — 6. Ἐπεὶ δὲ οὐχ ὅσον.) Ἐπειδὴ εἶχε πλέον ἢ ὅσον μετ' αὐτοῦ ὡμολόγησεν. — 7. Ἀγαπήσειν.) Ἵνα εὐχαριστηθῶ. — 8. Ἐπιτυγχάνει.) Τοῦτο προταχθὲν, Ἑνικῶς ἐτέθη· τὸ δὲ Ἀπιόντες πρὸς ἀμφότερα φερόμενον, πληθυντικῶς. — 9. Εἰς τὰ τοῦ ἀδελφοῦ.) Δηλ. Οἰκία. — 10. Ἀκολουθεῖν.) Ἀπὸ κοινοῦ τὸ Ἐκέλευον. Σημείωσαι δὲ τὸ Ἀκολουθῶ δοτικῇ συντάσσεται, καὶ γενικῇ μετὰ τῆς Μετὰ ὡς ἐνταῦθα. — 11. Εἰς Δαμνίππου.) Κατ' ἔλλειψιν τῆς Οἶκον αἰτιατικῆς.



Ε.Υ.Μ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐκεῖσε. Καταλαμβάνομεν δὲ αὐτόθι Θέογνιν ἑτέρους φυλάττοντα· ᾧ παραδόντες ἐμὲ πάλιν ᾤχοντο.

§ 5. Ἐν τοιούτῳ[2] δ' ὄντι μοι κινδυνεύειν ἐδόκει, ὡς τοῦγε ἀποθανεῖν ὑπάρχοντος ἤδη. Καλέσας δὲ Δάμνιππον, λέγω πρὸς αὐτὸν τάδε, « Ἐπιτήδειος μέν μοι τυγχάνεις ὤν, ἥκω δὲ εἰς τὴν » σὴν οἰκίαν· ἀδικῶ δ' οὐδέν· χρημάτων δὲ ἕνεκα ἀπόλλυμαι. » Σὺ οὖν ταῦτα πάσχοντί μοι πρόθυμον παράσχου τὴν σεαυτοῦ » δύναμιν εἰς τὴν ἐμὴν σωτηρίαν. » Ὁ δ' ὑπέσχετο ταῦτα ποιήσειν. Ἐδόκει δ' αὐτῷ βέλτιον εἶναι πρὸς Θέογνιν μνησθῆναι· ἡγεῖτο γὰρ ἅπαν ποιήσειν αὐτόν, εἴ τις ἀργύριον διδοίη. Ἐκείνου δὲ διαλεγομένου Θεόγνιδι, (ἔμπειρος γὰρ ὢν ἐτύγχανον τῆς οἰκίας, καὶ ᾔδειν, ὅτι ἀμφίθυρος εἴη) ἐδόκει μοι ταύτῃ πειρᾶσθαι σωθῆναι· ἐνθυμουμένῳ, ὅτι, ἐὰν μὲν λάθω, σωθήσομαι· ἐὰν δὲ ληφθῶ, ἡγούμην μέν, εἰ Θέογνις εἴη πεπεισμένος ὑπὸ τοῦ Δαμνίππου χρήματα λαβεῖν, οὐδὲν ἧττον ἀφεθήσεσθαι· εἰ δὲ μή,[3] ὁμοίως ἀποθανεῖσθαι. Ταῦτα διανοηθείς, ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με διελθεῖν, ἅπασαι ἀνεῳγμέναι ἔτυχον.

§ 6. Ἀφικόμενος δὲ εἰς Ἀρχένεω τοῦ ναυκλήρου,[2] ἐκεῖνον πέμπω εἰς ἄστυ[3] πευσόμενον περὶ τοῦ ἀδελφοῦ. Ἥκων δ' ἔλεγεν,[4] ὅτι Ἐρατοσθένης αὐτὸν ἐν τῇ ὁδῷ λαβών, εἰς τὸ δεσμωτήριον ἀπαγάγοι. Καὶ ἐγὼ τοιαῦτα πεπυσμένος, τῆς ἐπιούσης νυκτὸς διέπλευσα Μεγάραδε.[5] Πολεμάρχῳ δὲ παρήγγειλαν οἱ τριάκοντα τὸ ὑπ' ἐκείνων εἰθισμένον παράγγελμα, πίνειν κώνειον, πρὶν τὴν αἰτίαν εἰπεῖν, δι' ἥντινα ἔμελλεν ἀποθανεῖσθαι· οὕτω πολλοῦ ἐδέησε[6] κριθῆναι καὶ ἀπολογήσασθαι. Καὶ ἐπειδὴ ἀπεφέρετο ἐκ τοῦ δεσμωτηρίου τεθνεώς, τριῶν ἡμῖν οἰκειῶν οὐσῶν, οὐδεμιᾶς[7] εἴασαν ἐξενεχθῆναι, ἀλλὰ κλίσιον[8] μισθωσάμενοι, προὔθεντο[9] αὐτόν. Καὶ πολλῶν ὄντων ἱματίων, αἰτοῦσιν οὐδὲν ἔδοσαν εἰς ταφήν, ἀλλὰ τῶν φίλων ὁ μὲν ἱμάτιον, ὁ δὲ προσκεφάλαιον, ὁ δὲ ὅ,τι ἕκαστος

---

§ 5. 2. Ἐν τοιούτῳ.) Εἰς τοιαύτην δηλ. περίστασιν, ἢ κατάστασιν εὑρισκομένῳ ἐδόκει μοι ἐν κινδύνῳ εἶναι· ἐν δὲ τῷ τοιούτῳ ἐννοεῖται καιρῷ, ἢ τόπῳ. — 3. Εἰ δὲ μή.) Θέογνις εἴη πεπεισμένος χρήματα λαβεῖν, ἡγούμην ὁμοίως.

§ 6. 2. Εἰς Ἀρχένεω τοῦ ναυκλήρου.) Τὸν οἶκον δηλ. ἡ κλίσις τοῦ ὀνόματος Ἀττική. — 3. Εἰς ἄστυ.) Δοκεῖ γοῦν εἰς Πειραιᾶ οἰκεῖν τὸν Ἀρχένεων. — 4. Ἥκων δ' ἔλεγεν.) Ἐπιστραφεὶς ἔλεγεν. — 5. Μεγάραδε.) Ἀντὶ εἰς Μέγαρα· ὁ γὰρ Δὲ μετὰ τὴν αἰτιατικὴν τιθέμενος ἀντὶ τῆς Εἰς κεῖται, καὶ τὰ ὀνόματα ἐπιρρηματικὸν λαμβάνει σχῆμα· οὕτω καὶ Ἀθήναςδε, ἢ Ἀθήναζε λέγεται, τοῦ σ καὶ δ εἰς τὸ ζ συναλοιφομένων. — 6. Οὕτω πολλοῦ ἐδέησε.) Οὕτω παντάπασιν οὐκ ἐφρόντισεν ἵνα κριθῇ καὶ ἀπολογηθῇ. — 7. Οὐδεμιᾶς.) Ἐξ οὐδεμιᾶς δηλ. — 8. Κλίσιον.) Σημαίνει μὲν καὶ σκηνήν, καὶ οἰκίδιον πτωχῶν, καὶ τόπον, ἔνθα κοιμῶνται πρόβατα. — 9. Προὔθεντο.) Προέθεντο· ἵνα γὰρ κατὰ τὰ εἰθισμένα ταφῇ, ἔδει πλῦναι τὸ σῶμα πρῶτον τοῦ νεκροῦ, εἶτα κοσμῆσαι, καὶ ἐπὶ κλίνης

ἔτυχεν, ἔδωκεν εἰς τὴν ἐκείνου ταφήν. Καὶ ἔχοντες[10] μὲν ἑπτακοσίας ἀσπίδας τῶν ἡμετέρων, ἔχοντες δὲ ἀργύριον καὶ χρυσίον τοσοῦτον, χαλκὸν δὲ καὶ κόσμον καὶ ἔπιπλα, καὶ ἱμάτια γυναικεῖα, ὅσα οὐδεπώποτε ᾤοντο κτήσασθαι, καὶ ἀνδράποδα εἴκοσι καὶ ἑκατὸν (ὧν τὰ μὲν βέλτιστα ἔλαβον, τὰ δὲ λοιπὰ εἰς τὸ δημόσιον ἀπέδοσαν.) Εἰς τοσαύτην ἀπληστίαν καὶ αἰσχροκέρδειαν ἀφίκοντο, καὶ τοῦ τρόπου τοῦ αὐτῶν ἀπόδειξιν ἐποιήσαντο. Τῆς γὰρ Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆρας, οὓς ἔχουσα ἐτύγχανεν,[11] ὅτε τὸ πρῶτον ἦλθεν εἰς τὴν οἰκίαν, Μηλόβιος ἐκ τῶν ὤτων ἐξείλετο. Καὶ οὐδὲ κατὰ τὸ ἐλάχιστον μέρος τῆς οὐσίας ἐλέου παρ' αὐτῶν ἐτυγχάνομεν, ἀλλ' οὕτως εἰς ἡμᾶς διὰ τὰ χρήματα ἐξημάρτανον, ὥσπερ ἂν ἕτεροι μεγάλων ἀδικημάτων ὀργὴν ἔχοντες.

§ 7. Οὐ τούτων ἀξίους γε ὄντας[2] τῇ πόλει, ἀλλὰ πάσας μὲν τὰς χορηγίας χορηγήσαντας πολλὰς δ' εἰσφορὰς εἰσενεγκόντας, κοσμίους δ' ἡμᾶς αὐτοὺς παρέχοντας, καὶ πᾶν τὸ προσταττόμενον ποιοῦντας, ἐχθρὸν δ' οὐδένα κεκτημένους, πολλοὺς δ' Ἀθηναίων ἐκ τῶν πολεμίων λυσαμένους, τοιούτων ἠξίωσαν·[3] οὐχ ὁμοίως μετοικοῦντας,[4] ὥσπερ αὐτοὶ ἐπολιτεύοντο. Οὗτοι γὰρ πολλοὺς μὲν τῶν πολιτῶν εἰς τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ' ἀδίκως ἀποκτείναντες, ἀτάφους ἐποίησαν· πολλοὺς δ' ἐπιτίμους ὄντας,[5] ἀτίμους τῆς πόλεως κατέστησαν· πολλῶν δὲ θυγατέρας μελλούσας ἐκδίδοσθαι, ἐκώλυσαν, καὶ εἰς τοσοῦτόν εἰσι τόλμης ἀφιγμένοι, ὥσθ' ἥκουσιν ἀπολογησόμενοι, καὶ λέγουσιν, ὡς οὐδὲν κακὸν οὐδ' αἰσχρὸν εἰργασμένοι εἰσίν· ἐγὼ δ' ἐβουλόμην ἂν αὐτοὺς ἀληθῆ λέγειν. Μετῆν γὰρ ἂν[6] καὶ ἐμοὶ τούτου τἀγαθοῦ οὐκ ἐλάχιστον μέρος. Νῦν δὲ οὔτε πρὸς τὴν πόλιν αὐτοῖς τοιαῦτα ὑπάρχει,[7] οὔτε πρὸς ἐμέ. Τὸν ἀδελφὸν γάρ μου (ὥσπερ καὶ πρότερον εἶπον) Ἐρατοσθένης ἀπέκτεινεν, οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος, οὔτε εἰς τὴν πόλιν ὁρῶ ἐξαμαρτάνοντα, ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν. Ἀναβιβασάμενος δ' αὐτὸν βούλομαι ἔρεσθαι, ὦ

---

θέντας ἐκφέρειν. — 10. Καὶ ἔχοντες.) Ἐννοεῖται τὸ Οὐδὲν ἔδωκαν, εἰς ἀπόδοσιν τῆς μετοχῆς, ὡς προειρημένον· τὸ δὲ Εἰς τοιαύτην ἀπληστίαν ἀφίκοντο, κατ' ἔκπληξιν ἀναγνωστέον. — 11. Οὓς ἔχουσα ἐτύγχανεν.) Ἀντὶ οὓς εἶχε.

§ 7. 2. Ἀξίους γε ὄντας.) Ἡμᾶς δηλ. — 3. Τοιούτων ἠξίωσαν.) Ἡμᾶς οἱ τύραννοι. — 4. Οὐχ ὁμοίως μετοικοῦντας.) Εἴγε καὶ μέτοικοι ἦμεν, ἀλλ' οὖν ὑπὲρ τῆς πόλεως πάντα ἐποιοῦμεν, οὗτοι δὲ πολῖται ὄντες πολλὰ κακὰ εἰργάσαντο. — 5. Ἐπιτίμους ὄντας.) Ἐπίτασιν σημαίνει ἡ Ἐπί· οἷον τιμιωτάτους. — 6. Μετῆν γὰρ ἄν.) Οὕτω γὰρ εἴη δυνατὸν καὶ ἐμοὶ μετασχεῖν πολὺ μέρος τούτου τοῦ ἀγαθοῦ. — 7. Τοιαῦτα ὑπάρχει.) Ἐννοεῖται τὸ εἰργασμένα· ὁ νοῦς· νῦν δὲ οὔτε ὑπὲρ τῆς πόλεως τοιαῦτα φαίνονται εἰργασμένοι, οὔτε ὑπὲρ ἐμοῦ· εἰ δέ τις τὸ Αὐτοῖς πρὸς τὸ ὑπάρχει περιποιητικῶς ἀποδοίη· παραφράσοιεν οὕτω τὸ λεγόμενον· οὐδ' ἔχουσι αὐτοὶ τοιαῦτα ὑπὲρ τῆς πόλεως, οὐδ' ὑπὲρ ἐ-

ἄνδρες δικασταί. Τοιαύτην γὰρ γνώμην ἔχω· ἐπὶ μὲν τῇ τούτου[8] ὠφελείᾳ καὶ πρὸς ἕτερον περὶ τούτου διαλέγεσθαι ἀσεβὲς εἶναι νομίζω, ἐπὶ δὲ τῇ τούτου βλάβῃ, καὶ πρὸς αὐτὸν τοῦτον, ὅσιον καὶ εὐσεβές.[9]

§ 8. Ἀνάβηθι οὖν μοι καὶ ἀπόκριναι, εἴτι ἄν σε ἐρωτῶ. Ἀπήγαγες Πολέμαρχον ἢ οὔ; Τὰ ὑπὸ τῶν ἀρχόντων προσταχθέντα δεδιὼς ἐποίουν. Ἦσθα δ᾽ ἐν τῷ βουλευτηρίῳ, ὅτε οἱ λόγοι ἐγίνοντο περὶ ἡμῶν; Ἦν. Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι, ἢ ἀντέλεγες; Ἀντέλεγον. Ἵνα ἀποθάνωμεν; Ἵνα μὴ ἀποθάνητε. Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια; Ἄδικα. Εἶτ᾽, ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μέν, ἵνα σώσειας,[2] συνελάμβανες δέ, ἵνα ἀποκτείνοις; Καὶ ὅτε μὲν[3] τὸ πλῆθος ἦν ὑμῶν κύριον τῆς σωτηρίας τῆς ἡμετέρας, ἀντιλέγειν, φῂς τοῖς βουλομένοις ἡμᾶς ἀπολέσαι· ἐπειδὴ δὲ ἐπὶ σοὶ μόνῳ ἐγένετο καὶ σῶσαι Πολέμαρχον καὶ μή, εἰς τὸ δεσμωτήριον ἀπήγαγες; Εἶθ᾽ ὅτι μέν, ὡς φῄς, ἀντειπών, οὐδὲν ὠφέλησας, ἀξιοῖς χρηστὸς νομίζεσθαι· ὅτι δὲ συλλαβὼν ἀπέκτεινες, οὐκ οἴει ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην;[4] Καὶ μὴν[5] οὐδὲ τοῦτο εἰκὸς αὐτῷ πιστεύειν, (εἴπερ ἀληθῆ λέγει, φάσκων ἀντειπεῖν) ὡς αὐτῷ προσετάχθη. Οὐ γὰρ δήπου[6] ἐν τοῖς μετοίκοις πίστιν παρ᾽ αὐτοῦ ἐλάμβανον. Ἔπειτα τῷ[7] ἧσσον εἰκὸς ἦν προσταχθῆναι, ἢ ὅστις ἀντειπών γε ἐτύγχανε,[8] καὶ γνώμην ἀποδεδειγμένος; Τίνα γὰρ εἰκὸς ἦν ἧττον ταῦτα ὑπηρετῆσαι, ἢ τὸν ἀντειπόντα οἷς ἐκεῖνοι ἐβούλοντο πραχθῆναι;

§ 9. Ἔτι δὲ τοῖς μὲν ἄλλοις Ἀθηναίοις ἱκανή μοι δοκεῖ πρόφασις εἶναι τῶν γεγενημένων, εἰς τοὺς τριάκοντα ἀναφέρειν τὴν αἰτίαν· αὐτοὺς δὲ τοὺς τριάκοντα, ἂν εἰς σφᾶς αὐτοὺς[2] ἀναφέρωσι πῶς ὑμᾶς εἰκὸς ἀποδέχεσθαι; Εἰ μὲν γάρ τις ἐν τῇ πόλει

---

μοῦ. — 8. Ἐπὶ μὲν τῇ τούτου.) Ἐπεξήγησις ἐστὶ τοῦτο τοῦ Τοιαύτην γνώμην ἔχω· ἄνευ δέ τινος μορίου συνδέοντος εἴρηκε τὸ πάθος ἐμφαίνων· τὸ δὲ Περὶ τούτου κατὰ πλεονασμὸν λέγεται, σαφηνείας χάριν. — 9. Ὅσιον καὶ εὐσεβές.) Ἀπὸ κοινοῦ τὸ νομίζω.

§ 8. 2. Ἀντέλεγες μέν, ἵνα σώσειας.) Ὁ Ἵνα πρὸς εὐκτικόν· ὑπονοούμενον γάρ πως ἔχει τὸν δυνητικόν. — 3. Καὶ ὅτε μέν.) Καὶ νῦν δηλαδή, ὅτε Θρασύβουλος κατήργησεν ἡμᾶς τοὺς τυράννους, καὶ ὁ δῆμος ἦν ὑμῶν κύριος ἕνεκα τῆς ἡμετέρας σωτηρίας, φῂς ὅτι ἀντέλεγες . . . ὅτε δὲ ἦν ἐν τῇ ἐξουσίᾳ τῇ σῇ καὶ σῶσ. — 4. Ἐμοὶ καὶ τουτοισὶ δοῦναι δίκην.) Τούτοις καὶ κατ᾽ ἐπέκτασιν τοῦ ι τουτοισὶ πρὸς πλείονα δεῖξιν· οὐκ οἴει καταδικασθῆναι ὑπ᾽ ἐμοῦ καὶ τουτωνὶ τῶν κριτῶν καὶ περιεστώτων. — 5. Καὶ μήν.) Προσθετικός, ἔτι δέ. — 6. Οὐ γὰρ δήπου.) Πάντως γὰρ οἱ λοιποὶ οὐκ ἐπίστευον αὐτῷ περὶ τῶν μετοίκων, εἴ γε ἀντέλεγεν, οὐδὲ προσέταττον αὐτῷ· τὸ γὰρ Λαμβάνω παρά τινος πίστιν σημαίνει τὸ παρ᾽ ἡμῖν Ἐμπιστεύομαί τινι. — 7. Τῷ.) Ἀντὶ Τίνι· τὰ γὰρ ἄρθρα καὶ ἀντὶ ἐρωτηματικῶν λαμβάνεται. — 8. Ἀντειπών γε ἐτύγχανε.) Ἀντέλεγέ πως· μειωτικὸς γὰρ ὁ Γε.

§ 9. 2. Εἰς σφᾶς αὐτούς.) Εἰς ἑαυτούς, ὁ εἷς δηλαδὴ αἰτιώμενος τὸν ἄλλον αὐτῶν· τὸ δ᾽ Ἂν ἀναφέρωσιν, ἀνάλυσίς ἐστι μετοχῆς· οἷον· πῶς εἰκὸς ἐστιν ὑμᾶς τοὺς δικαστὰς ἀποδέχεσθαι τοὺς τριάκοντα τυράννους ἀναφέροντας

ἀρχὴ ἰσχυροτέρα αὐτῆς,[3] ὑφ' ἧς αὐτῷ προσετάττετο παρὰ τὸ δίκαιον ἀνθρώπους ἀπολλύναι, ἴσως ἂν εἰκότως αὐτῷ συγγνώμην εἴχεται· νῦν δὲ παρὰ τοῦ ποτὲ καὶ λήψεσθε[4] δίκην, εἴπερ ἐξέσται τοῖς τριάκοντα λέγειν, ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποίουν; Καὶ μηδὲ δὴ οὐκ ἐν τῇ οἰκίᾳ, ἀλλ' ἐν τῇ ὁδῷ σώζοντα αὐτὸν καὶ τὰ τούτον ἐψηφισμένα, ὅτι συλλαβὼν ἀπήγαγεν. Ὑμεῖς δὲ πάντες ὀργίζεσθε, ὅσοι[5] εἰς τὰς οἰκίας ἦλθον τὰς ὑμετέρας, ζήτησιν ποιούμενοι[6] ἢ ὑμῶν ἢ τῶν ὑμετέρων τινός. Καίτοι εἰ χρὴ τούτοις, διὰ τὴν ἑαυτῶν σωτηρίαν ἑτέρους ἀπολέσασι, συγγνώμην ἔχειν,[7] ἐκείνοις[8] ἂν δικαιότερον ἔχοιτε. Κίνδυνος γὰρ ἦν πεμφθεῖσι, μὴ ἐλθεῖν, καὶ καταλαβοῦσιν ἐξάρνοις γενέσθαι. Τῷ δὲ Ἐρατοσθένει[9] ἐξῆν εἰπεῖν, ὅτι οὐκ ἀπήντησεν· ἔπειτα, ὅτι οὐκ εἶδεν. Ταῦτα γὰρ οὔτε ἔλεγχον, οὔτε βάσανον εἶχεν· ὥστε μηδ' ὑπὸ τῶν ἐχθρῶν βουλομένων[10] οἷόν τε εἶναι ἐξελεγχθῆναι. Χρῆν δέ σε, ὦ Ἐρατόσθενες, εἴπερ ἦσθα χρηστός, πολὺ μᾶλλον τοῖς μέλλουσιν ἀδίκως ἀποθανεῖσθαι μηνυτὴν γενέσθαι[11], ἢ τοὺς ἀδίκως ἀπολουμένους συλλαμβάνειν. Νῦν δέ σου τὰ ἔργα φανερὰ γεγένηται οὐχ ὡς ἀνιωμένου[12], ἀλλ' ὡς ἡδομένου τοῖς γιγνομένοις, ὥστε τούσδε ἐκ τῶν ἔργων χρὴ μᾶλλον, ἢ ἐκ τῶν λόγων τὴν ψῆφον φέρειν, ἃ ἴσασι γεγενημένα, τῶν τότε λεγομένων τεκμήρια λαμβάνοντας,[13] ἐπειδὴ μάρτυρας περὶ αὐτῶν οὐχ οἷόν τε παρασχέσθαι. Οὐ γὰρ μόνον ἡμῖν παρεῖναι[14] οὐκ ἐξῆν, ἀλλ' οὐδὲ παρ' αὐτοῖς εἶναι,[15] ὥστε ἐπὶ τούτοις ἐστί,[16] πάντα τὰ κακὰ εἰργασμένοις τὴν πόλιν, πάντα τἀγαθὰ περὶ αὐτῶν λέγειν. Τοῦτο μέντοι[17] οὐ φεύγω, ἀλλ' ὁμολογῶ σοι, εἰ βούλει, ἀντιπεῖν. Θαυμάζω δέ, τί ἄν ποτε ποιήσαις συνειπών, ὁπότε ἀντιπεῖν φάσκων, ἀπέκτεινας Πολέμαρχον! Φέρε δή, τί ἂν εἰ καὶ ἀδελφοὶ ὄντες ἐτύχετε αὐτοῦ, ἢ καὶ υἱεῖς ἀπεψηφίσασθαι; Δεῖ γάρ, ὦ ἄνδρες δικασταί,

---

τὴν αἰτίαν εἰς ἑαυτούς; — 3. Αὐτῆς.) Τῆς τῶν τριάκοντα, ἀφ' ἧς προσετάττετο αὐτῷ τῷ Ἐρατοσθένει. — 4. Παρὰ τοῦ ποτὴ καὶ λήψεσθε.) Τίνα δὲ περὶ τῶν πεπραγμένων τιμωρήσεσθε; — 5. Ὅσοι.) Ἐκείνοις δηλ. ὀργίζεσθαι, ὅσοι. — 6. Ζήτησιν ποιούμενοι.) Ζητοῦντες ἢ ὑμᾶς ἤ τινα τῶν ὑμετέρων κατὰ περίφρασιν. — 7. Συγγνώμην ἔχειν.) Συγχωρεῖν· κατὰ περίφρασιν. τούτοις δηλαδὴ τοῖς τριάκ. — 8. Ἐκείνοις.) Τοῖς ὑπηρέταις δηλ. — 9. Τῷ δὲ Ἐρατοσθένει.) Ἐν ὁδῷ, ἀλλ' οὐκ ἐν οἰκίᾳ εὑρόντι Πολέμαρχον. — 10. Βουλομένων.) Ἐλέγχειν αὐτὸν ψευδόμενον. — 11. Μηνυτὴν γενέσθαι.) Μηνύσαι. — 12. Οὐχ ὡς ἀνιωμένου.) Οὐχ ὡς ἔργα ἀνδρὸς ἀνιωμένους ἀλλ' ὡς ἔργα ἀνδρὸς ἡδομένου ἐπὶ τοῖς γεγενημένοις ὤφθησαν τὰ ἔργα σου. — 13. Τεκμήρια λαμβάνοντας.) Τεκμήρια λαμβάνοντας τῶν, ὅσα τότε ἔλεγον αὐτὰ τὰ ἔργα, ἅπερ γινώσκουσιν ὅτι ἐπράχθησαν ὑπ' αὐτῶν τῶν τυράνν. — 14. Παρεῖναι.) Αὐτοῖς τοῖς τυράννοις λέγουσι. — 15. Παρ' αὐτοῖς εἶναι.) Οἴκοι μένειν δηλ. — 16. Ἐπὶ τούτοις ἐστί.) Ἐν τῇ ἐξουσίᾳ δηλαδὴ αὐτῶν ἐστιν, οἵτινες εἰργάσαντο πάντα τὰ κακὰ τῇ πόλει, λέγειν περὶ ἑαυτῶν. — 17. Τοῦτο μέντοι.) Τὸ ἀντειπεῖν μέν τοι οὐ φεύγω

Ε. Γ. Α. Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἐρατοσθένην δυοῖν θάτερον ἀποδεῖξαι, ἢ ὡς οὐκ ἀπήγαγεν αὐτόν, ἢ ὡς δικαίως τοῦτ' ἔπραξεν. Οὗτος δὲ ὡμολόγησεν ἀδίκως συλλαβεῖν, ὥστε[18] ῥᾳδίαν ὑμῖν τὴν διαψήφισιν περὶ αὐτοῦ πεποίηκε.

§ 10. Καὶ μὲν δὴ πολλοὶ καὶ τῶν ἀστῶν καὶ τῶν ξένων ἥκουσιν, εἰσόμενοι,[2] τίνα γνώμην περὶ τούτων ἕξετε. Ὧν οἱ μὲν ὑμέτεροι ὄντες πολῖται, μαθόντες ἀπίασιν,[3] ὅτι ἢ δίκην δώσουσιν,[4] ὧν ἂν ἐξαμάρτωσιν, ἢ πράξαντες μὲν ὧν ἐφίενται, τύραννοι τῆς πόλεως ἔσονται, δυστυχήσαντες δὲ,[5] τὸ ἴσον ὑμῖν ἕξουσιν. Ὅσοι δὲ ξένοι ἐπιδημοῦσιν,[6] εἴσονται, πότερον ἀδίκως τοὺς τριάκοντα ἐκκηρύττουσιν[7] ἐκ τῶν πόλεων, ἢ δικαίως. Εἰ γὰρ δὴ αὐτοὶ[8] οἱ κακῶς πεπονθότες, λαβόντες ἀφήσουσιν, ἦπου σφᾶς αὐτοὺς ἡγήσονται[9] περιέργους ὑπὲρ ὑμῶν τειρομένους. Οὔκουν δεινὸν, εἰ τοὺς μὲν στρατηγοὺς,[10] οἳ ἐνίκων ναυμαχοῦντες, ὅτι διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν[11] εἶναι τοὺς ἐκ τῆς θαλάττης[12] ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε, ἡγούμενοι χρῆναι τῇ τῶν τεθνεότων ἀρετῇ παρ' ἐκείνων δίκην λαβεῖν· τούτους δὲ δὴ, οἳ ἰδιῶται μὲν ὄντες καθ' ὅσον ἐδύναντο ἐποίησαν ἡττηθῆναι ναυμαχοῦντας,[13] ἐπειδὴ δὲ εἰς τὴν ἀρχὴν κατέστησαν, ὁμολογοῦσιν ἑκόντες πολλοὺς τῶν πολιτῶν ἀκρίτους ἀποκτιννύναι· οὐκ ἄρα χρὴ αὐτοὺς[14] καὶ τοὺς παῖδας ἐφ' ὑμῶν ταῖς ἐσχάταις ζημίαις κολάζεσθαι;

---

ἀλλ' ὁμολογῶ σοι. — 18. Ὥστε.) Συμπερασματικὸν, Ἄρα τίνα ψῆφον χρὴ ἐπιφέρειν περὶ αὐτοῦ, αὐτὸς περὶ ἑαυτοῦ ῥᾴδιον τοῦτο πεποίηκε.

§ 10. 2. Εἰσόμενοι.) Τελικὴ μετοχὴ ἤτοι ἵνα μάθωσι. — 3. Ἀπίασιν.) Ἐνεστῶτι ἐχρήσατο ἀντὶ μέλλοντος κατ' ἀντιχρονισμὸν διὰ τὸ μὴ ἔχειν τὸ Εἶμι τὸ Πορεύομαι, μέλλοντα. — 4. Δίκην δώσουσιν.) Κολασθήσονται δι' ἐκεῖνα, ἃ ἥμαρτον· τὸ ὧν Ἀττικῶς ἀντὶ τοῦ Ἃ· ὑπεδύθη γὰρ τοῦ πρὸς ὃ ἀναφέρεται τὴν πτῶσιν. — 5. Δυστυχήσαντες δὲ) Ἐὰν δὲ ἀποτύχωσιν, ὧν ἐφίενται, οὐδὲν πείσονται ἕτερον ἢ ἕξουσι τὸ ἴσον ὑμῖν· ἰσότιμοι δηλονότι ἔσονται ὡς πολῖται. — 6. Ἐπιδημοῦσιν.) Εἰσὶν ἐν Ἀθήναις. — 7. Ἐκκηρύττουσιν.) Οἱ ξένοι δηλ. ἐκ τῶν ἰδίων πόλεων. — 8. Αὐτοί) οἱ Ἀθηναῖοι, οἱ κακῶς ὑπὸ τῶν τυράννων πεπονθότες, λαβόντες αὐτοὺς ὑποχειρίους, ὑφ' ὧν κακῶς πεπόνθασι· οὐδὲν ποιήσουσι. — 9. Ἦπου σφᾶς αὐτοὺς ἡγήσονται.) Οἱ ξένοι οὗτοι· κινούμενοι καὶ λυπούμενοι ὑπὲρ ὑμῶν, νομίσουσιν ἑαυτοὺς περιέργους· οἱ μετὰ Θρασυβούλου εἰς κατάλυσιν τῶν τυράννων ἦλθον. — 10. Στρατηγούς.) Δέκα δὲ ἦσαν οὗτοι, οἳ περὶ Λέσβον ἐναυμάχησαν Λακεδαιμονίοις· καὶ ἐπειδὴ διὰ τὴν τρικυμίαν οὐκ ἐδυνήθησαν τοὺς ἐν τῇ μάχῃ ἐν θαλάσσῃ πεσόντας νεκροὺς ἀνελέσθαι καὶ θάψαι, κατηγοροῦντος Καλλιξένους καὶ Θηραμένους, ἐφονεύθησαν. Ξενοφ. Ἑλλην. βιβλ. ά. κεφ. ς'. καὶ ζ'. — 11. Ἔφασαν.) Ἤχθησαν γὰρ εἰς Ἀθήνας ἀπολογησόμενοι, καὶ ἀπελογήσαντο ταῦτα. — 12. Τοὺς ἐκ τῆς θαλάττης) Τοὺς ναυαγοὺς ἐκ τῆς θαλάσσης. — 13. Ναυμαχοῦντας.) Ὑμᾶς δηλ. τοὺς Ἀθηναίους. Αἰνίττεται περὶ τῆς ἐν Αἰγὸς ποταμοῖς ναυμαχίας· καθ' ἣν κατὰ κράτος νικήσαντες οἱ Λακεδαιμόνιοι τὸ ναυτικὸν τῶν Ἀθηναίων, καὶ αὐτῆς τῆς πόλεως μετ' οὐ πολὺ κύριοι ἐγένοντο, ὅτε καὶ τοὺς τριάκοντα κατεστήσαντο τυράννους. — 14. Οὐκ ἄρα χρὴ αὐτούς.) Ἐπανέλαβεν, ἵνα καὶ τοὺς παῖδας προσθῇ. τὸ Οὔκουν δεινόν; τούτοις δὴ διὰ γὰρ τὰ πολλὰ μεταξὺ, ὥσπερ ἐπιλαθόμενος ταῦτα, καὶ ὡς ἔδει κατὰ τὴν ῥύμην τοῦ λόγου εἰπεῖν. Λαβόντας ἀφεῖναι αὐτούς. Οὐκ ἄρα, φησὶ, χρὴ αὐτοὺς, τοὺς τυράνν. ἡ δὲ Αὐτοὺς διὰ τὴν προῤῥηθεῖσαν δεικτικήν.

§ 11. Ἐγὼ τοίνυν, ὦ ἄνδρες δικασταί, ἠξίουν ἱκανὰ εἶναι τὰ κατηγορημένα· μέχρι γὰρ τούτου νομίζω χρῆναι κατηγορεῖν, ἕως ἂν θανάτου δόξῃ τῷ φεύγοντι[2] ἄξια εἰργάσθαι. Ταύτην γὰρ ἐσχάτην δίκην δυνάμεθα παρ' αὐτῶν λαβεῖν· ὥστ' οὐκ οἶδ', ὅ,τι δεῖ πολλὰ κατηγορεῖν τοιούτων ἀνδρῶν, οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀποθανόντες, δίκην δοῦναι[3] δύναιντ' ἄν. Οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτῷ[4] προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστίν· πρὸς μὲν τὰ κατηγορούμενα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν ἕτερα[5] λέγοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες, ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν πολεμίων ναῦς ἔλαβον τριηραρχήσαντες· ἢ πόλεις, πολεμίας οὔσας, φίλας ἐποίησαν. Ἐπεὶ κελεύετε[6] αὐτὸν[7] ἀποδεῖξαι, ὅπου τοσούτους τῶν πολεμίων ἀπέκτειναν, ὅσους τῶν πολιτῶν· ἢ ναῦς ὅπου τοσαύτας ἔλαβον, ὅσας αὐτοὶ παρέδωκαν· ἢ πόλιν ἥν τινα τοιαύτην προσεκτήσαντο, οἵαν τὴν ὑμετέραν κατεδουλώσαντο. Ἀλλὰ γὰρ[8] ὅπλα τῶν πολεμίων ἐσκύλευσαν, ὅσαπερ ὑμῶν ἀφείλοντο; ἀλλὰ τείχη τοιαῦτα εἷλον, οἷα τῆς ἑαυτῶν πατρίδος κατέσκαψαν; οἵτινες καὶ τὰ περὶ τὴν Ἀττικὴν φρούρια καθεῖλον, καὶ ὑμῖν ἐδήλωσαν, ὅτι οὐδὲ τὸν Πειραιᾶ Λακεδαιμονίων προσταττόντων περιεῖλον, ἀλλ' ὅτι αὐτοῖς τὴν ἀρχὴν οὕτω βεβαιοτέραν ἐνόμιζον εἶναι.

§ 12. Πολλάκις οὖν ἐθαύμασα τῆς τόλμης[2] τῶν λεγόντων ὑπὲρ αὐτῶν·[3] πλὴν ὅταν[4] ἐνθυμηθῶ, ὅτι τῶν αὐτῶν ἐστίν, αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι, καὶ τοὺς τοιούτους ἐπαινεῖν. Οὐ γὰρ[5] νῦν πρῶτον τῷ ὑμετέρῳ πλήθει τὰ ἐναντία ἔπραξεν, ἀλλὰ καὶ ἐπὶ τῶν τετρακοσίων[6] ἐν τῷ στρατοπέδῳ ὀλιγαρχίαν καθιστάς, ἔφευγεν ἐξ Ἑλλησπόντου[7] τριήραρχος καταλιπὼν τὴν ναῦν, μετὰ Ἰατροκλέους, καὶ ἑτέρων, ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν. Ἀφικόμενος δὲ δεῦρο, τἀναντία τοῖς βουλομένοις δημοκρατίαν

---

§ 11. 2. Δόξῃ τῷ φεύγοντι.) Δόξῃ δηλονότι καὶ αὐτῷ τῷ κατηγορουμένῳ, ὅτι εἴργασθαι. — 3. Δίκην δοῦναι.) Τὴν ἀξίαν αὐτοῖς δηλαδὴ οὖσαν. — 4. Αὐτῷ.) Πρὸς τὸν Ἐρατοσθένη ὁ λόγος. — 5 Ἕτερα.) Ἀλλότρια δηλαδὴ τοῦ προκειμένου ἀγῶνος. — 6. Ἐπεὶ κελεύετε.) Προστακτικὸν τὸ Κελεύετε. — 7. Αὐτόν.) Τὸν Ἐρατοσθένη δηλ. πρὸς ὃν ὁ λόγος. — 8. Ἀλλὰ γάρ.) Ὁ γὰρ κατὰ παρολκὴν κεῖται· οἷον· ἀλλ' ὅσα καὶ τλ.

§ 12. 2. Ἐθαύμασα τῆς τόλμης.) Μετὰ γενικῆς τὸ Θαυμάζω ἐπὶ μέμψεως λαμβάνεται· ὡς ἐν τῇ ἀρχῇ τοῦ Πανηγυρ. Ἰσοκρ. εἴρηται. — 3. Ὑπὲρ αὐτῶν.) Τῶν τυράννων. — 4. Πλὴν ὅταν.) Ἐννοεῖται εἰς ἀποπλήρωσιν τοῦ λόγου, Οὐ θαυμάζω. — 5. Οὐ γάρ.) Ἐνταῦθα ἐννοεῖσθαι δοκεῖ· Ὅτι δὲ ὁ Ἐρατοσθένης τοιοῦτος, νῦν ἐπιδείξω· οὐ γάρ. — 6. Ἐπὶ τῶν τετρακοσίων.) Πείσανδρος γνώμην εἶπε, καὶ Ἀντιφῶν ξυνέθετο προέδρους ἑλέσθαι ἑκατὸν καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτῷ τρεῖς· ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας εἰς τὸ βουλευτήριον, ἄρχειν ὅποι ἂν ἀριστα γινώσκουσιν αὐτοκράτορας. Θουκυδ. ξυγρ. Η'. κεφ. ξζ', ξη'. — 7. Ἔφυγεν ἐξ Ἑλλησπόντου.) Ὅτε ἡττήθη τὸ ναυτικὸν τῶν Ἀθηναίων, καὶ Κόνων ὁ στρατηγὸς αὐτῶν μετὰ ἐννέα τριηρῶν κατέφυγεν εἰς Εὐαγόραν Βασιλέα Κύπρου, φοβούμενος τὴν ὀργὴν τοῦ πλήθους.

εἶναι ἔπραττεν. Καὶ τούτων μάρτυρας ὑμῖν παρέξομαι. Μάρτυρες. Τὸν μὲν τοίνυν[8] μεταξὺ βίον αὐτοῦ παρήσω· ἐπειδὴ δὲ ἡ ναυμαχία, καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, δημοκρατίας ἔτι οὔσης, ὅθεν τῆς[9] στάσεως ἦρξαν, πέντε ἄνδρες ἔφοροι κατέστησαν ὑπὸ τῶν καλουμένων ἑταίρων, συναγωγεῖς μὲν[10] τῶν πολιτῶν, ἄρχοντες δὲ τῶν συνωμοτῶν, ἐναντία δὲ τῷ ὑμετέρῳ πλήθει πράττοντες. Ἐρατοσθένης καὶ Κριτίας ἦσαν. Οὗτοι δὲ φυλάρχους τε ἐπὶ τὰς φυλακὰς κατέστησαν, καὶ ὅτι δέοι χειροτονεῖσθαι, καὶ οὕς τινας χρὴ ἄρχειν παρήγγελλον, καὶ εἴτι ἄλλο πράττειν βούλοιντο, κύριοι ἦσαν.[11] Οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον, ἀλλὰ καὶ ὑπὸ τούτων, πολιτῶν ὄντων, ἐπεβουλεύεσθε, ὅπως μήτ' ἀγαθὸν μηδὲν ψηφίσασθαι, πολλῶν τε ἐνδεεῖς ἔσεσθε. Τοῦτο γὰρ καὶ ἠπίςαντο, ὅτι ἄλλως μὲν οὐχ οἷοί τε ἔσονται περιγενέσθαι, κακῶς δὲ πραττόντων,[12] δυνήσονται. Καὶ ὑμᾶς ἡγοῦντο, τῶν παρόντων κακῶν ἐπιθυμοῦντας ἀπαλλαγῆναι, περὶ τῶν μελλόντων οὐκ ἐνθυμήσεσθαι.

§ 13. Ὡς τοίνυν τῶν ἐφόρων ἐγένετο, μάρτυρας ὑμῖν παρέξομαι, οὐ τοὺς τότε συμπράττοντας, (οὐ γὰρ ἂν δυναίμην[2]) ἀλλὰ τοὺς αὐτοῦ Ἐρατοσθένους ἀκούσαντας· καί τοι εἰ ἐσωφρόνουν,[3] κατεμαρτύρουν ἂν αὐτῶν· καὶ τοὺς διδασκάλους τῶν σφετέρων ἁμαρτημάτων σφόδρ' ἂν ἐκόλαζον, καὶ τοὺς ὅρκους, εἰ ἐσωφρόνουν, οὐκ ἂν ἐπὶ μὲν τοῖς τῶν πολιτῶν κακοῖς πιστοὺς ἐνόμιζον, ἐπὶ δὲ τοῖς τῆς πόλεως ἀγαθοῖς ῥᾳδίως παρέβαινον. Πρὸς μὲν οὖν τούτους τοσαῦτα λέγω. Τοὺς δὲ μάρτυράς μοι κάλει.[4] Καὶ ὑμεῖς ἀνάβητε. Μάρτυρες. Τῶν μὲν μαρτύρων ἀκηκόατε. Τὸ δὲ τελευταῖον εἰς τὴν ἀρχὴν καταστάς,[5] ἀγαθοῦ μὲν οὐδενὸς μετέσχεν, ἄλλων δὲ πολλῶν· καί τοι εἴπερ ἦν ἀνὴρ ἀγαθός, ἐχρῆν ἂν πρῶ-

---

— 8. Τὸν μὲν τοίνυν.) Τὸν ἀπὸ τῶν τετρακοσίων μέχρι τῆς ἐν Αἰγὸς ποταμοῖς ἀτυχίας. — 9. Ὅθεν τῆς.) Ἦρξαν δὲ τῆς στάσεως οὕτω· ξυστάντες τινὲς τῶν νεωτέρων, οἳ ἑταῖροι διὰ τοῦτο ὀνομάζονται, Ἀνδροκλέα τέ τινα προεστῶτα μάλιστα τοῦ δήμου ἔκτειναν κρύφα· καὶ ἄλλους τινάς· καὶ ἔλεγον πεντακισχιλίοις μόνοις μεθεκτέον τῶν πραγμάτων, οἳ ἂν μάλιστα τοῖς τε χρήμασι καὶ τοῖς σώμασιν ὠφελεῖν οἷοί τε ὦσιν. Θουκυδ. ξυγρ. Η΄. κεφ. ξε. ξς΄. ὁ δὲ νοῦς· ὅσα μεταξὺ τοῦ ἀπὸ τῶν τετρακοσίων μέχρι τῆς δυστυχίας χρόνου ἔπραξεν Ἐρατοσθένης, ἀποσιωπήσω, ἐπειδὴ ὅμως ἡ ναυμαχία, καὶ ἡ συμφορὰ τῇ πόλει ἐγένετο, ἀρχόμενος ἀπὸ τοῦ χρόνου, καθ' ὃν δημοκρατία ἔτι ἦν, λέξω, ὅθεν τῆς στάσεως ἤρξαντο· καὶ εἰς ταύτην τὴν συμφορὰν τὰ πράγματα ἦλθον. — 10. Συναγωγεῖς μέν.) Ἦγουν λόγῳ μὲν ὡς συναγωγεῖς τῶν πολιτῶν, ἔργῳ δὲ ὡς ἄρχοντες τῶν συνωμοτῶν· καὶ ἐναντίοι κατὰ πάντα τῷ πλήθει τῶν Ἀθην. — 11. Ἦσαν.) Μέρος δηλ. — 12. Κακῶς δὲ πραττόντων.) Ὑμῶν, δυνήσονται περιγενέσθαι· ἐννοεῖ δὲ διὰ τοῦτο ὅτι συνέπραξαν τοῖς Λακεδαιμονίοις εἰς τὸ παραβιάσασθαι τοὺς Ἀθηναίους ἐν τῇ πολιορκίᾳ μετὰ τὴν παντελῆ τοῦ ναυτικοῦ φθοράν.

§ 13. 2. Οὐ γὰρ ἂν δυναίμην.) Παρασχεῖν δηλαδὴ τούτους μάρτυρας. — 3. Εἰ ἐσωφρόνουν.) Οἱ τότε συμπράττοντες, κατεμαρτύρουν τῶν τυράννων. — 4. Κάλει.) Ὦ ὑπηρέτα. — 5.

τον μὲν μὴ παρανόμως ἄρχειν, ἔπειτα[6] τῇ βουλῇ μηνυτὴν γίνεσθαι περὶ τῶν εἰσαγγελιῶν[7] ἁπασῶν, ὅτι ψευδεῖς εἶεν. Καὶ Βάτραχος[8] καὶ Αἰσχυλίδης οὐ τἀληθῆ μηνύουσι, ἀλλὰ τἀληθῆ[9] ὑπὸ τῶν τριάκοντα πλασθέντα εἰσαγγέλλουσι, συγκείμενα ἐπὶ τῇ τῶν πολιτῶν βλάβῃ. Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, ὅσοι κακόνοι ἦσαν τῷ ἡμετέρῳ πλήθει, οὐδὲν ἔλαττον εἶχον[10] σιωπῶντες. Ἕτεροι γὰρ ἦσαν οἱ λέγοντες καὶ πράττοντες, ὧν οὐχ οἷόν τ' ἦν μείζω κακὰ γενέσθαι τῇ πόλει. Ὁπόσοι δ' εὖνοι φασὶν εἶναι, πῶς οὐκ ἐνταῦθα ἔδειξαν, αὐτοί τε τὰ βέλτιστα λέγοντες, καὶ τοὺς ἐξαμαρτάνοντας ἀποτρέποντες; Ἴσως δ' ἂν ἔχοι εἰπεῖν,[11] ὅτι ἐδεδοίκει, (καὶ ὑμῶν τοῦτο ἐνίοις ἱκανὸν ἔσται) ὅπως μή τι φανήσεται ἐν τῷ λόγῳ τοῖς τριάκοντα ἐναντιούμενος· εἰ δὲ μή,[12] ἐνταυθοῖ δῆλος ἔσται, ὅτι ἐκεῖνά τε αὐτῷ ἤρεσκε, καὶ τοσαῦτα ἐδύνατο, ὥστε ἐναντιούμενος μηδὲν κακὸν παθεῖν ὑπ' αὐτῶν. Χρῆν δ' αὐτὸν ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ταύτην τὴν προθυμίαν[13] ἔχειν, ἀλλὰ μὴ ὑπὲρ Θηραμένους, ὃς εἰς ὑμᾶς πολλὰ ἐξήμαρτε· ἀλλ' οὕτως τὴν μὲν πόλιν ἐχθρὰν ἐνόμιζεν εἶναι, τοὺς δ' ὑμετέρους ἐχθροὺς φίλους· ὡς ἀμφότερα ταῦτα ἐγὼ πολλοῖς τεκμηρίοις παραστήσω, καὶ τὰς πρὸς ἀλλήλους διαφορὰς[14] οὐχ ὑπὲρ ὑμῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν γινομένας, ὁπότεροί μοι ταῦτα πράξουσι, καὶ τῆς πόλεως ἄρξουσι.

§ 14. Καὶ γὰρ εἰ ὑπὲρ τῶν ἀδικουμένων ἐστασίαζον, ποῦ κάλλιον ἂν ἦν ἀνδρὶ ἄρχοντι, ἢ Θρασυβούλου Φυλὴν κατειληφό-

---

Καταστάς.) Ὁ Ἐρατοσθένης. — 6. Ἔπειτα.) Πολλάκις οἱ ῥήτορες, ἡγουμένου τοῦ Μὲν, τὸ Ἔπειτα ἐπιφέρουσιν ἄνευ Δέ. — 7. Περὶ τῶν εἰσαγγελιῶν.) Εἰσαγγελία δημοσίας τινὸς δίκης ὄνομά ἐστι ἐπὶ τῶν μεγίστων καὶ δημοσίων ἀδικημάτων γινομένης· τρία δὲ εἴδη εἰσαγγελιῶν· ἡ μὲν γὰρ ἐπὶ δημοσίοις ἀδικήμασι μεγίστοις, καὶ ἀναβολὴν μὴ ἐπιδεχομένοις, ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε, μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι, καθ' οὓς εἰσάξουσιν, ἀλλὰ πρὸς τὴν βουλὴν ἢ τὸν δῆμον ἡ πρώτη κατάστασις ἔστω· καὶ ἐφ' οἷς τῷ μὲν φεύγοντι, ἐὰν ἁλῷ, μέγισται ζημίαι ἐπίκεινται, ὁ δὲ διώκων, ἐὰν μὴ ἕλῃ, οὐδὲν ζημιοῦται· πλὴν ἐὰν τὸ πέμπτον μέρος τῶν ψήφων μὴ μεταλάβῃ· τότε γὰρ χιλίας ἐκτείνει· τὸ δὲ παλαιὸν καὶ οὗτοι μειζόνως ἐκολάζοντο· ἑτέρα δὲ εἰσαγγελία λέγεται, ἐπὶ ταῖς κακώσεσι· αὗται δέ εἰσι πρὸς τὸν ἄρχοντα, καὶ τῷ διώκοντι ἀζήμιοι, κἂν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων· ἄλλη δὲ εἰσαγγελία ἐστὶ κατὰ τῶν διαιτητῶν· εἰ γάρ τις ὑπὸ διαιτητῶν ἀδικηθείη, ἐξῆν τοῦτον εἰσαγγέλλειν πρὸς τοὺς δικαστάς, καὶ ἁλοὺς ἠτιμοῦτο. Βαρῖν. Εἰσαγγελία. — 8. Καὶ Βάτραχος.) Καὶ ὅτι δηλαδὴ ὁ Βάτραχος — 9. Ἀλλὰ τἀληθῆ.) Ἀλλ' εἰσαγγέλλουσι τὰ πλασθέντα ὑπὸ τῶν τριάκ. ἀληθῆ. — 10. Οὐδὲν ἔλαττον εἶχον.) Καὶ σιωπώντων, ἐπράττετο ἃ ἤθελον, διὰ τὸ εἶναι ἑτέρους τὰ μέγιστα κακὰ ποιοῦντας. — 11. Ἔχοι εἰπεῖν.) Ὁ Ἐρατοσθένης. — 12. Εἰ δὲ μή.) Ἔχῃ τοῦτο, ὅτι ἐδεδοίκει, ὅπως μήτε φανήσεται ἐναντιούμενος, δῆλον ἐστὶν ἐνταῦθα, ὅτι ἤρεσκεν αὐτῷ ὅσα οἱ τύραννοι ἔπραττον. — 13. Ταύτην τὴν προθυμίαν.) Καθ' ἣν ἤρεσκεν αὐτῷ τὰ παρὰ τῶν τυράννων πραττόμενα, καὶ συνέπραττεν αὐτοῖς. — 14. Τὰς πρὸς ἀλλήλους διαφοράς.) Ἃς ἔσχον οἱ τύραννοι πάντες, καὶ ταύτας παραστήσω οὐχ ὑπὲρ ὑμῶν.

τος, τότε ἐπιδείξασθαι τὴν αὐτοῦ συνουσίαν; ὁ δ'[2] ἀντὶ τοῦ ἐπαγγείλασθαί τι ἢ πρᾶξαι ἀγαθὸν πρὸς τοὺς ἐπὶ Φυλῇ, ἐλθὼν μετὰ τῶν συναρχόντων εἰς Σαλαμῖνα καὶ Ἐλευσίναδε,[3] τριακοσίους τῶν πολιτῶν ἀπήγαγεν εἰς τὸ δεσμωτήριον, καὶ μιᾷ ψήφῳ αὐτῶν ἁπάντων θάνατον κατεψηφίσατο. Ἐπειδὴ δὲ εἰς τὸν Πειραιᾶ ἤλθομεν,[4] καὶ αἱ ταραχαὶ γεγεννημέναι ἦσαν, καὶ περὶ τῶν διαλλαγῶν οἱ λόγοι ἐγένοντο, πολλὰς ἑκάτεροι ἐλπίδας εἴχομεν πρὸς ἀλλήλους ἔσεσθαι, ὡς ἀμφότεροι ἔδοξαν.[5] Οἱ μὲν γὰρ ἐκ Πειραιῶς, κρείττους ὄντες, εἴασαν αὐτοὺς ἀπελθεῖν· οἱ δὲ[6] εἰς τὸ ἄστυ ἐλθόντες, τοὺς μὲν τριάκοντα ἐξέβαλον, πλὴν Φείδωνος καὶ Ἐρατοσθένους, ἄρχοντας δὲ τοὺς ἐκείνοις[7] ἐχθίστους εἵλοντο, ἡγούμενοι δικαίως ἂν ὑπὸ τῶν αὐτῶν τούς τε τριάκοντα μισεῖσθαι καὶ τοὺς ἐν Πειραιεῖ φιλεῖσθαι. Τούτων τοίνυν Φείδων ὁ τῶν τριάκοντα γενόμενος, καὶ Ἱπποκλῆς, καὶ Ἐπιχάρης ὁ Λαμπρεύς, καὶ ἕτεροι οἱ δοκοῦντες εἶναι ἐναντιώτατοι Χαρικλεῖ καὶ Κριτίᾳ καὶ τῇ ἐκείνων ἑταιρείᾳ, ἐπειδὴ αὖθις[8] αὐτοὺς εἰς τὴν ἀρχὴν κατέστησαν, πολὺ μείζω στάσιν[9] καὶ πόλεμον ἐπὶ τοὺς ἐν Πειραιεῖ ἢ τοὺς ἐξ ἄστεος ἐποίησαν. Οἳ καὶ φανερῶς ἐπεδείξαντο, ὅτι οὐχ ὑπὲρ τῶν ἐν Πειραιεῖ, οὐδ' ὑπὲρ τῶν ἀδίκως ἀπολλυμένων ἐστασίαζον, οὐδ' οἱ τεθνειότες αὐτοὺς ἐλύπουν, οὐδ' οἱ μέλλοντες ἀποθανεῖσθαι· ἀλλ' οἱ μεῖζον δυνάμενοι, καὶ θᾶσσον πλουτοῦντες. Λαβόντες γὰρ τὰς ἀρχὰς καὶ τὴν πόλιν; ἀμφοτέροις ἐπολέμουν, τοῖς τε τριάκοντα, πάντα κακὰ εἰργασμένοις, καὶ ὑμῖν πάντα κακὰ πεπονθόσι· καίτοι τοῦτο πᾶσι δῆλον ἦν, ὅτι, εἰ μὲν ἐκεῖνοι δικαίως ἔφευγον, ὑμεῖς ἀδίκως· εἰ δ' ὑμεῖς ἀδίκως, οἱ τριάκοντα δικαίως· οὐ γὰρ δὴ ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον, ἀλλὰ τούτων·[10] ὥστε σφόδρα χρὴ ὀργίζεσθαι, ὅτι Φείδων αἱρεθεὶς ἡμᾶς διαλλάξαι καὶ καταγαγεῖν τῶν αὐτῶν ἔργων Ἐρατοσθένει μετεῖχε· καὶ τῇ αὐτῇ γνώμῃ τοὺς μὲν κρείττους αὐτῶν[11] δι' ὑμᾶς

---

§ 14. 2. Ὁ δ'.) Ἐρατοσθένης. — 3. Ἐλευσίναδε.) Εἰς Ἐλευσῖνα, ὁ γὰρ Δε ὡς εἴρηται ἐπιτιθέμενος ἀντὶ τῆς Εἰς λαμβάνεται. — 4. Ἤλθομεν.) Ὡς πεφευγὼς τοὺς τυράννους συνῆλθε τῷ Θρασυβούλῳ τιμωρησόμενος αὐτούς. — 5. Ὡς ἀμφότεροι ἔδοξαν.) Οἷον· ἀμφοτέρους ἔσεσθαι πρὸς ἀλλήλους τοιούτους, οἷοι ἔδοξαν ἔσεσθαι· οἱ μὲν γὰρ φυγάδες ἐδόκουν, ὅ,τι τῶν τυράννων διωχθέντων, οἱ ἐν ἄστει δέξονται αὐτοὺς ἐν τῇ πατρίδι· οἱ δὲ ἐν ἄστει ὅτι, προϊσταμένων αὐτοῖς τῶν τοῖς τυράννοις ἐχθίστων, καὶ φυγάδες ἐπιστρέψουσι, καὶ οἱ τύραννοι καθαιρεθήσονται, καὶ παύσει ἡ στάσις. — 6. Οἱ δέ.) Οἱ ἀπὸ τοῦ ἄστεος δηλ. — 7. Ἄρχοντας δὲ τοὺς ἐκείνοις.) Καταλύσαντες γὰρ ὁ δῆμος τοὺς τριάκοντα, εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς. Ξενοφ. Ἑλλην. βιβλ. Β'. κεφ. δ'. 24. — 8. Ἐπειδὴ αὖθις.) Ἐπειδὴ πάλιν Φείδων καὶ Ἐρατοσθένης — 9. Πολὺ μείζω στάσιν.) Οὐδὲ γὰρ τοὺς ἐν Πειραιεῖ ἐφίλουν· Λακεδαιμονίους τε εἰς βοήθειαν μετεπέμψατο· Ξενοφ. Βιβλ. Β'. κεφ. δ'. 24 . . . 42. — 10. Ἀλλὰ τούτων.) Τῶν ἀδίκων δηλαδὴ ἔργων. — 11. Κρείττους αὐτῶν.) Τοὺς τριάκοντα δηλ. τυράννους κρείττους ὄντας

κακῶς ποιεῖν ἕτοιμος ἦν, ὑμῖν δὲ ἀδίκως φεύγουσιν οὐκ ἠθέλησεν ἀποδοῦναι τὴν πόλιν· ἀλλ' ἐλθὼν εἰς Λακεδαίμονα, ἔπειθεν αὐτοὺς στρατεύεσθαι· διαβάλλων, ὅτι Βοιωτῶν[12] ἡ πόλις ἔσται, καὶ ἄλλα λέγων, οἷς ᾤετο πείσειν μάλιστα. Οὐ δυνάμενος δὲ τούτων τυχεῖν, εἴτε καὶ τῶν ἱερῶν ἐμποδὼν ὄντων, εἴτε καὶ αὐτῶν[13] οὐ βουλομένων, ἑκατὸν τάλαντα ἐδανείσατο, ἵνα ἔχῃ ἐπικούρους μισθοῦσθαι. Καὶ Λύσανδρον ἄρχοντα ᾐτήσατο, εὐνούστατον μὲν ὄντα τῇ ὀλιγαρχίᾳ, κακονούστατον δὲ τῇ πόλει, μισοῦντα δὲ μάλιστα τοὺς ἐν Πειραιεῖ. Μισθωσάμενοι δὲ πάντας ἀνθρώπους ἐπ' ὀλέθρῳ τῆς πόλεως, καὶ πόλεις ἐπάγοντες,[14] καὶ τελευτῶντες Λακεδαιμονίους, καὶ τῶν συμμάχων[15] ὁπόσους ἐδύναντο πεῖσαι, οὐ διαλλάξαι, ἀλλ' ἀπολέσαι παρεσκευάζοντο τὴν πόλιν· εἰ μὴ δι' ἄνδρας ἀγαθούς, οἷς ὑμεῖς δηλώσατε[16] παρὰ τῶν ἐχθρῶν δίκην λαβόντες, ὅτι καὶ ἐκείνοις χάριν ἀποδώσετε. Ταῦτα δὲ ἐπίστασθαι μὲν καὶ αὐτοί, καὶ οἶδ', ὅτι οὐ δεῖ μάρτυρας παρασχέσθαι· ὅμως δ'[17] ἐγώ τε γὰρ δέομαι ἀναπαύσασθαι, ὑμῶν τ' ἐνίοις ἥδιον ὡς πλεῖστον[18] τοὺς αὐτοὺς λόγους ἀκούειν. Μάρτυρες.

§ 15. Φέρε δὴ καὶ περὶ Θηραμένους ὡς δύναμαι διὰ βραχυτάτων διδάξω. Δέομαι δ' ὑμῶν ἀκοῦσαι ὑπέρ τ' ἐμαυτοῦ καὶ τῆς πόλεως. Καὶ μηδενὶ τοῦτο παραστῇ,[2] ὡς Ἐρατοσθένους κινδυνεύοντος, Θηραμένους κατηγορῶ. Πυνθάνομαι γὰρ ταῦτα ἀπολογήσεσθαι αὐτόν, ὅτι ἐκεῖνος φίλος ἦν, καὶ τῶν αὐτῶν ἔργων μετεῖχε. Καίτοι σφόδρ' ἂν αὐτὸν[3] οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον, προσποιεῖσθαι πράττειν ὅπως οἰκοδομηθήσεται[4] τὰ τείχη. Ὁπότε καὶ μετὰ Θηραμένους,[5] ὅπως καθαιρεθήσεται. Οὐ γάρ μοι δοκοῦσιν[6] ἴσου ἄξιοι γεγενῆσθαι. Ὁ μὲν γὰρ[7] Λακεδαιμονίων ἀκόντων ᾠκοδόμησεν αὐτά, οὗτος δὲ τοὺς πολίτας ἐξαπατήσας καθεῖλε. Περιέστηκεν οὖν[8] τῇ πόλει τοὐναντίον, ἢ ὡς εἰκὸς ἦν. Ἄξιον

---

Φείδωνος καὶ Ἐρατοσθένους. — 12. Ὅτι Βοιωτῶν.) Ἐπειδὴ γὰρ Θρασύβουλος ἐκ Βοιωτίας ὥρμησεν, διέβαλλεν ὅτι εἰ δέξονται αὐτόν, ἡ πόλις γενήσεται ὑπὸ Βοιωτῶν. — 13. Εἴτε καὶ αὐτῶν.) Τῶν Λακεδαιμονίων δηλαδ. — 14. Ἐπάγοντες.) Ἐπὶ τὰς Ἀθήνας δηλ. — 15. Καὶ τῶν συμμάχων.) Τῶν τοῖς Λακεδαιμονίοις ὑπαρχόντων. — 16 Οἷς ὑμεῖς δηλώσατε.) Τούτοις οὖν καὶ ὑμεῖς ὦ δικασταί, δείξατε, ὅτι ἐὰν κοινοὺς τιμωρήσητε ἐχθρούς, καὶ ἐκείνοις χάριν ἀποδώσετε. — 17. Ὅμως δ'.) Ἐννοεῖται Μάρτυρας. —18. Ἥδιον ὡς πλεῖστον.) Τὸ Ὡς πλεῖστον ἐπιτατικῶς πρὸς τὸ Ἥδιον.

§ 15. 2. Παραστῇ.) Ὁ νοῦς· καὶ μηδεὶς εἰς ἔννοιαν ἔλθῃ ὅτι ἄτοπα ποιῶ, Ἐρατοσθένους ἀγωνιζομένου, Θηραμένους κατηγορῶν. — 3. Αὐτόν.) Τὸν Ἐρατοσθένην — 4. Ὅπως οἰκοδομηθήσεται.) Ὁ γὰρ Θεμιστοκλῆς αἴτιος ἐγένετο τοῦ τὰ τείχη τῆς πόλεως οἰκοδομηθῆναι ὑπὸ τῶν Περσῶν καθαιρεθέντα, καὶ τῶν Λακεδαιμονίων μὴ τειχίζειν ἐκτὸς ἰσθμοῦ γνωμοδοτησάντων. Θουκυδ. ξυγ. Α'. κεφ. ϟ'. . . . ϟγ'. — 5. Ὁπότε καὶ μετὰ Θηραμένους.) Ἐννοεῖται Ἔπραττεν. — 6. Οὐ γάρ μοι δοκοῦσιν.) Θεμιστοκλῆς καὶ Θηραμένης. — 7. Ὁ μὲν γάρ.) Θεμιστοκλῆς. — 8. Περιέστηκεν οὖν.) Ἡ δὲ πόλις τὸν μὲν Θεμιστοκλ. κατεδίκασε τὸν δὲ Θηραμέν. ἐν τιμαῖς ἔχει.

μὲν γὰρ καὶ τοὺς φίλους[9] τοῦ Θηραμένους προσαπολωλέναι, πλὴν εἴτις ἐτύγχανεν ἐκείνῳ τἀναντία πράττων. Νῦν δὲ ὁρῶ τάς τε ἀπολογίας[10] εἰς ἐκεῖνον[11] ἀναφερομένας, τούς τ' ἐκείνῳ συνόντας τιμᾶσθαι πειρωμένους, ὥσπερ πολλῶν ἀγαθῶν αἰτίους, ἀλλ' οὐ μεγάλων κακῶν γεγενημένους.

§ 16. Ὅς[2] πρῶτον μὲν τῆς προτέρας ὀλιγαρχίας αἰτιώτατος ἐγένετο, πείσας ὑμᾶς τὴν ἐπὶ τῶν τετρακοσίων[3] πολιτείαν ἑλέσθαι. Καὶ ὁ μὲν πατὴρ αὐτοῦ[4] τῶν προβούλων ὢν ταὐτ' ἔπραττεν, αὐτὸς δὲ, δοκῶν εὐνούστατος εἶναι τοῖς πράγμασι, στρατηγὸς ὑπ' αὐτοῦ ᾑρέθη. Καὶ ἕως μὲν ἐτιμᾶτο, πιστὸν ἑαυτὸν τῇ πόλει παρεῖχεν· ἐπειδὴ δὲ Πείσανδρον μὲν καὶ Κάλλαισχρον καὶ ἑτέρους ἑώρα προτέρους αὐτοῦ γενομένους, τὸ δ' ὑμέτερον πλῆθος οὐκ ἔτι βουλόμενον τούτων[5] ἀκροᾶσθαι, τότ' ἤδη διά τε τὸν πρὸς ἐκείνους[6] φθόνον καὶ τὸ παρ' ὑμῶν δέος, μετέσχε τῶν Ἀριστοκράτους[7] ἔργων. Βουλόμενος δὲ τῷ ὑμετέρῳ πλήθει δοκεῖν πιστὸς εἶναι Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον, φιλτάτους ὄντας αὐτῷ, κατηγορῶν ἀπέκτεινεν. Εἰς τοσοῦτον δὲ κακίας[8] ἦλθεν, ὥστε ἅμα μὲν διὰ τὴν πρὸς ἐκείνους πίστιν, ὑμᾶς κατεδουλώσατο, διὰ δὲ τὴν πρὸς ὑμᾶς, τοὺς φίλους ἀπώλεσεν. Τιμώμενος δὲ καὶ τῶν μεγίστων ἀξιούμενος, αὐτὸς ἐπαγγειλάμενος σώσειν τὴν πόλιν, αὐτὸς[9] ἀπώλεσε· φάσκων πρᾶγμα εὑρηκέναι μέγα καὶ πολλοῦ ἄξιον. Ὑπέσχετο δὲ[10] εἰρήνην ποιήσειν, μήτε ὅμηρα δοὺς, μήτε τὰ τείχη καθελὼν, μήτε τὰς ναῦς παραδούς. Ταῦτα δὲ εἰπεῖν μὲν οὐδενὶ ἠθέλησεν, ἐκέλευσε δὲ αὐτῷ πιστεύειν. Ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, πραττούσης μὲν τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς σωτηρίαν,[11] ἀντιλεγόντων δὲ πολλῶν Θηραμένει, εἰδότες δὲ,[12] ὅτι οἱ μὲν ἄνθρωποι ἄλλοι τῶν πολεμίων οὕνεκα τὰ ἀπόῤῥητα ποιοῦνται, ἐκεῖνος

---

ἐναντίον τοῦ εἰκότος. — 9. Ἄξιον μὲν γὰρ καὶ τοὺς φίλους.) Οὐ μόνον Θηραμένην· ἀλλὰ μετ' αὐτοῦ καὶ τοὺς φίλους. αὐτοῦ. — 10. Τάς τε ἀπολογίας.) Τῶν φίλων Θηραμένους. — 11. Εἰς ἐκεῖνον.) Τὸ Θηραμένην.

§ 16. 2. Ὅς.) Θηραμένης δηλ. ἀναφέρεται δὲ πρὸς τὴν Ἐκείνῳ. — 3. Τὴν ἐπὶ τῶν τετρακοσίων.) Ὅρα κεφάλαιον 12. σημείωσις Θουκυδ. ξυγγρ. Η'. κεφ. ξή. καὶ Θηραμένης ὁ τοῦ Ἄγνωνος ἐν τοῖς ξυγκαταλύουσι τὸν δῆμον πρῶτος ἦν. — 4. Πατὴρ αὐτοῦ.) Ἄγνων. — 5. Τούτων.) Θηραμένους καὶ Ἄγνωνος. — 6. Ἐκείνους.) Πείσανδρον καὶ Κάλλαισχρον. — 7. Τῶν Ἀριστοκράτους.) Ὡς Θουκυδίδης ἱστορεῖ ἐν Η'. κεφ. πθ'. . . . . ϟδ'. ὡς Ἀριστοκράτης καὶ οἱ σὺν αὐτῷ ἔπραξαν, ἵν' οἱ πεντακισχίλιοι ἔργῳ εἰς τὰ πράγματα ὦσιν, οὐ λόγῳ· καὶ καταλυθῇ ἡ ὀλιγαρχία. — 8. Εἰς τοσοῦτον δὲ κακίας.) Ἀντὶ εἰς τοσαύτην κακίαν κατὰ μετάληψιν. — 9. Αὐτὸς . . . αὐτός.) Ἔμφασιν ἔχει τὰ δύο ἀναφορικά· τὴν κακίαν δεικνῦντα τοῦ ἀνδρός. — 10. Ὑπέσχετο δέ.) Ὁ δὲ ἀντὶ τοῦ Γάρ· ταῦτα καὶ Ξενοφ. Ἑλλην. βιβλ. Β'. κεφ. β'. 16. καὶ Λυσίας αὐτὸς διηγεῖται ἐν τῷ κατὰ Ἀγοράτου. — 11. Πραττούσης . . . . σωτηρίαν.) Ἐν ᾧ ἡ βουλὴ ἡ ἐν Ἀρείῳ πάγῳ ἐνήργει περὶ εἰρήνης καὶ σωτηρίας τῆς πόλεως. — 12. Εἰδότες δέ.) Ὁ Δὲ ἔμφασιν μὲν ἔχει· παρέλκει δὲ κατ' ἐπανάληψιν ληφθείς· ἔστι γὰρ, ὑμεῖς δὲ . . . εἰδότες. Ὁ δὲ ὁρμώμενος ἀπὸ τοῦ Μὲν καὶ Δὲ τῶν ἐν ταῖς ἀπολύτοις ἐνυπαρχόντων, ἐπήγαγε καὶ ἕτερον Δὲ, ἐγκα-

ΙΩΑΝΝΙΝΑ 2006

δ' ἐν τοῖς αὐτοῦ πολίταις οὐκ ἠθέλησεν εἰπεῖν ταῦτ', ἃ πρὸς τοὺς πολεμίους ἔμελλεν ἐρεῖν, ὅμως ἐπετρέψατε αὐτῷ πατρίδα καὶ παῖδας, καὶ γυναῖκας, καὶ ὑμᾶς αὐτούς. Ὁ δὲ[13] ὧν μὲν ὑπέσχετο, οὐδὲν ἔπραξεν, οὕτω δὲ ἐνετεθύμητο, ὡς χρὴ μικρὰν καὶ ἀσθενῆ γενέσθαι τὴν πόλιν. Ὥστε περὶ ὧν οὐδεὶς πώποτε οὔτε τῶν πολεμίων ἐμνήσθη, οὔτε τῶν πολιτῶν ἤλπισε, ταῦθ' ὑμᾶς ἔπειθε πρᾶξαι· οὐχ ὑπὸ Λακεδαιμονίων ἀναγκαζόμενος, ἀλλ' αὐτὸς ἐκείνοις ἐπαγγελλόμενος, τοῦ τε Πειραιέως τὰ τείχη περιελεῖν, καὶ τὴν ὑπάρχουσαν πολιτείαν καταλῦσαι· εὖ εἰδώς, ὅτι, εἰ μὴ πασῶν τῶν ἐλπίδων ἀποστερηθήσεσθε, ταχεῖαν παρ' αὐτοῦ τὴν τιμωρίαν κομιεῖσθε.[14] Καὶ τὸ τελευταῖον, ὦ ἄνδρες δικασταί, οὐ πρότερον εἴασε τὴν ἐκκλησίαν γενέσθαι, ἢ ἕως ὁ λεγόμενος ὑπ' ἐκείνου καιρὸς ἐπιμελῶς ὑπ' αὐτοῦ ἐτηρήθη, καὶ μετεπέμψατο μὲν τὰς μετὰ Λυσάνδρου ναῦς ἐκ Σάμου, ἐπεδήμησε δὲ τὸ τῶν πολεμίων στρατόπεδον. Τότε δὲ τούτων ὑπαρχόντων, καὶ παρόντων Λυσάνδρου, καὶ Φιλοχάρους, καὶ Μιλτιάδου, περὶ τῆς πολιτείας τὴν ἐκκλησίαν ἐποίουν· ἵνα μήτε ῥήτωρ αὐτοῖς μηδεὶς ἐναντιοῖτο, μήτε ἀπειλοῖτο·[15] ὑμεῖς τε μὴ τὰ τῇ πόλει συμφέροντα ἕλοισθε, ἀλλὰ τἀκείνοις δοκοῦντα ψηφίσαισθε· ἀναστὰς δὲ Θηραμένης ἐκέλευσεν ὑμᾶς τριάκοντα ἀνδράσιν ἐπιτρέψαι τὴν πόλιν, καὶ τῇ πολιτείᾳ χρῆσθαι, ἣν Δρακοντίδης ἀπέφηνεν· ὑμεῖς δ' ὅμως καὶ οὕτως διακείμενοι, ἐθορυβεῖτε, ὡς οὐ ποιήσοντες ταῦτα. Ἐγινώσκετε γάρ, ὅτι περὶ δουλείας καὶ ἐλευθερίας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκκλησιάζετε.[16] Θηραμένης δέ, ὦ ἄνδρες δικασταί, (καὶ τούτων ὑμᾶς αὐτοὺς μάρτυρας παρέξομαι) εἶπεν, ὅτι οὐδὲν αὐτῷ μέλοι τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων εἰδείη[17] τοὺς τὰ ὅμοια πράττοντας αὐτῷ, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγοι· μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς ἄλλα τε πολλὰ τολμηρῶς εἶπεν, καὶ ὅτι παρασπόνδους ὑμᾶς ἔχοι, καὶ ὅτι οὐ περὶ πολιτείας ὑμῖν ἔσται, ἀλλὰ περὶ σωτηρίας ὁ λόγος, εἰ μὴ ποιήσαισθ', ἃ Θηραμένης κελεύοι. Τῶν δ' ἐν τῇ ἐκκλησίᾳ ὅσοι ἄνδρες ἀγαθοὶ ἦσαν, γνόντες τὴν παρασκευὴν[18] καὶ τὴν ἀνάγκην, οἱ μὲν αὐτοῦ μένοντες ἡσυχίαν ἦγον, οἱ δὲ ᾤχοντο ἀπιόντες· τοῦτο γοῦν

νακτῶν. — 13. Ὁ δέ.) Θηραμένης. — 14. Κομιεῖσθε.) Κομίζομαι τιμωρίαν παρά τινος, ἴσον ἐστὶ τῷ Λαμβάνω τιμωρίαν· ὅπερ σημαίνει Τιμωροῦμαι διά. — 15. Μήτε ἀπειλοῖτο.) Αὐτὸς δηλ. ὁ Θηραμένης. — 16. Ἐκκλησιάζετε.) Ποτέρας δηλονότι αὐταῖν ἔχεσθαι δεῖ· δουλείας, ἢ ἐλευθερίας. — 17. Ἐπειδὴ . . . . εἰδείη.) Πρὸς εὐκτικὸν τὸ Ἐπειδὴ διὰ τὸ παρῳχημένον τοῦ χρόνου. — 18. Παρασκευήν.) Ἡ λέξις παρὰ τοῖς Ἀττικισταῖς ῥήτορσι στάσεως δηλοῖ συνωμοσίαν· λαθραῖον μηχάνευμα παρανόμων τε καὶ κακούργων· οἷ, γινομένων αὐτοῖς βουλευμάτων λαθραίων, συνέρχονται ἵνα τοῦ πόνου, τοῦ δόλου, τῆς χάριτος, τῆς δυνάμεως ὁτιποτοῦν συναγάγωσιν· ἐνεργοῦντες ἵνα τε τὸ δίκαιον καταστραφῇ, καὶ ἡ τῶν πολιτῶν ἐλευθερία κατακδηλωθῇ. —

ΙΩΑΝΝΙΝΑ 2006

σφίσιν αὐτοῖς συνειδότες, ὅτι οὐδὲν κακὸν τῇ πόλει ἐψηφίσαντο· ὀλίγοι δέ τινες, καὶ πονηροὶ καὶ κακῶς βουλευόμενοι, τὰ προσταχθέντα ἐχειροτόνησαν· παρηγγέλλετο γὰρ αὐτοῖς, δέκα μὲν, οὓς Θηραμένης ἀπέδειξε, χειροτονῆσαι, δέκα δὲ, οὓς οἱ καθεστηκότες ἔφοροι κελεύοιεν, δέκα δὲ ἐκ τῶν παρόντων. Οὕτω γὰρ τὴν ὑμετέραν ἀσθένειαν ἑώρων, καὶ τὴν αὐτῶν δύναμιν ἠπίσταντο, ὥστε πρότερον[19] ᾔδεσαν τὰ μέλλοντα ἐν τῇ ἐκκλησίᾳ πραχθήσεσθαι. Ταῦτα δὲ οὐκ ἐμοὶ δεῖ πιστεῦσαι, ἀλλὰ ἐκείνῳ.[20] Πάντα γὰρ τὰ ὑπ' ἐμοῦ εἰρημένα, ἐν τῇ βουλῇ ἀπολογούμενος ἔλεγεν·[21] ὀνειδίζων μὲν τοῖς φεύγουσιν,[22] ὅτι δι' αὐτὸν κατέλθοιεν· οὐδὲν φροντίζοιεν δὲ τῶν Λακεδαιμονίων· ὀνειδίζων δὲ τοῖς τῆς πολιτίας μετέχουσιν, ὅτι πάντων τῶν πεπραγμένων τοῖς εἰρημένοις τρόποις ὑπ' ἐμοῦ, αὐτὸς αἴτιος γεγενημένος, τοιούτων τυγχάνοι, πολλὰς πίστεις αὐτῷ ἔργῳ δεδωκὼς, καὶ παρ' ἐκείνων ὅρκους εἰληφώς.

§ 17. Καὶ[2] τοσούτων καὶ ἑτέρων κακῶν καὶ αἰσχρῶν καὶ πάλαι καὶ νεωστὶ καὶ μικρῶν καὶ μεγάλων αἴτιοι[3] γεγενημένοι, τολμήσουσιν αὐτοὺς φίλους ὄντας ἀποφαίνειν; οὐχ ὑπὲρ ὑμῶν ἀποθανόντος Θηραμένους, ἀλλ' ὑπὲρ τῆς αὐτοῦ πονηρίας· καὶ δικαίως[4] μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος, (ἤδη γὰρ αὐτὴν κατέλυσε[5]) δικαίως δ' ἂν ἐν δημοκρατίᾳ· δὶς γὰρ[6] ὑμᾶς κατεδουλώσατο, τῶν μὲν παρόντων καταφρονῶν, τῶν δὲ ἀπόντων ἐπιθυμῶν· καὶ τῷ καλλίστῳ ὀνόματι χρώμενος, δεινοτάτων ἔργων διδάσκαλος καταστάς.

§ 18. Περὶ μὲν τοίνυν Θηραμένους ἱκανά μοι ἐστὶ τὰ κατηγορημένα· ἥκει δ' ὑμῖν ἐκεῖνος ὁ καιρὸς, ἐν ᾧ δεῖ[2] συγγνώμην καὶ ἔλεον μὴ εἶναι ἐν ταῖς ὑμετέραις γνώμαις, ἀλλὰ παρὰ Ἐρατοσθένους καὶ τῶν τουτουὶ συναρχόντων δίκην λαβεῖν, μηδὲ[3] μαχομένους κρείττους εἶναι τῶν πολεμίων· ψηφιζομένους δὲ, ἥττους τῶν ἐχθρῶν. Μηδ' ὧν φασὶ μέλλειν πράξειν, πλείω χάριν αὐτοῖς ἴστε, ἢ ὧν ἐποίησαν ὀργίζεσθε· μηδ' ἀποῦσι μὲν τοῖς τριάκοντα ἐπι-

— 19. Ὥστε πρότερον.) Ὑπακούεται· Ἢ γενέσθαι τὴν ἐκκλησίαν. — 20. Ἀλλ' ἐκείνῳ.) Τῷ Θηραμένει. — 21. Ἔλεγεν.) Κατηγόρει γὰρ Κριτίας Θηραμένους, ὁ δὲ ἀπελογήσατο εἰπὼν, ὅσα ὁ Λυσίας προείρηκεν· ὅρα Ξενοφ. Ἑλλην. βιβλ. Β'. κεφ. γ'. 11. . . . . 56. — 22. Τοῖς φεύγουσιν.) Οὐ λέγει τοὺς ἐκ τῆς Φυλῆς μετὰ Θρασυβούλου, μετὰ τὴν καθαίρεσιν τῶν τριάκοντα ἐπιστρέψαντας οἴκοι· μετὰ γὰρ τὴν Θηραμένους τελευτὴν ταῦτα ἐγένετο· ἀλλὰ τοὺς μετὰ τοὺς τετρακοσίους πρὸ πολλοῦ φεύγοντας.

§ 17. 2. Καί.) Ὁ Καὶ συμπερασματικός· τοσούτων ἄρα, καὶ ἑτέρ. — 3. Αἴτιοι.) Ἐρατοσθένης δηλαδὴ καὶ οἱ σὺν αὐτῷ. — 4. Καὶ δικαίως.) Πάλιν συμπερασματικὸς ὁ Καί. — 5. Κατέλυσεν.) Ἐπειρᾶτο δηλ. καταλύειν, ὡς φησὶ Ξενοφ. Ἑλλ. β'. γ'. 11. . . . 56. — 6. Δὶς γάρ.) Ἅπαξ μὲν, εἰς τοὺς τετρακοσίους, ἅπαξ δὲ, εἰς τοὺς τριάκοντα· ὡς εἴρηται.

§ 18. 2. Ἐν ᾧ δεῖ.) Ἐν ᾧ δηλαδὴ οὐ δεῖ συγχωρεῖν, οὐδ' ἐλεεῖν, ἀλλὰ τιμωρεῖσθαι Ἐρατοσθένη καὶ τοὺς συνάρχοντας αὐτῷ. — 3. Μηδέ.) Ἀπὸ κοινοῦ τὸ Δεῖ. Σημείωσαι ὅτι μετὰ τὸ Μαχομένους ἔδει ἐπεντιθέναι Μὲν· διὰ δὲ πάθος καὶ τὴν γοργότητα τοῦ λόγου

ΨΗΦΙΟΠΟΙΗΘΗΚΕ ΑΠΟ ΤΟ ΕΡΓΑΣΤΗΡΙΟ ... ΙΩΑΝΝΙΝΑ 2006

βουλεύετε, παρόντας δ' ἀφῆτε· μηδὲ τῆς τύχης, ἣ τούτους παρέδωκε τῇ πόλει, κάκιον ὑμῖν αὐτοῖς βοηθήσητε. Κατηγορεῖτε δὲ Ἐρατοσθένους καὶ τῶν τούτου φίλων, οἷς τὰς ἀπολογίας ἀνοίσει, καὶ μεθ' ὧν αὐτῷ ταῦτα πέπρακται. Ὁ μέντοι ἀγὼν οὐκ ἐξ ἴσου τῇ πόλει καὶ Ἐρατοσθένει. Οὗτος μὲν γὰρ κατήγορος καὶ δικαστὴς ὁ αὐτὸς ἦν τῶν γεγενημένων· ἡμεῖς δὲ νυνὶ εἰς κατηγορίαν καὶ ἀπολογίαν καθέσταμεν. Καίτοι οὗτοι μὲν τοὺς οὐδὲν ἀδικοῦντας ἀκρίτως ἀπέκτειναν, ὑμεῖς δὲ τοὺς ἀπολέσαντας τὴν πόλιν, κατὰ τὸν νόμον ἀξιοῦτε κρίνειν· παρ' ὧν οὐδ' ἂν παρανόμως βουλόμενοι δίκην λαβεῖν, ἀξίαν τῶν ἀδικημάτων, ὧν τὴν πόλιν ἠδικήκασι, λάβοιτε.[4] Τί γὰρ ἂν παθόντες, δίκην τὴν ἀξίαν εἴησαν τῶν ἔργων δεδωκότες; πότερον, εἰ αὐτοὺς ἀποκτείνοιτε καὶ τοὺς παῖδας αὐτῶν, ἱκανὴν ἂν τοῦ φόνου δίκην λάβοιμεν, ὧν οὗτοι πατέρας καὶ υἱεῖς καὶ ἀδελφοὺς ἀκρίτως ἀπέκτειναν; Ἀλλὰ γάρ[5] εἰ τὰ χρήματα τὰ φανερὰ δημεύσαιτε, καλῶς ἂν ἔχοι, ἢ τῇ πόλει, ἧς οὗτοι πολλὰ εἰλήφασιν, ἢ τοῖς ἰδιώταις, ὧν οἰκίας ἐξεπόρθησαν; Ἐπειδὴ τοίνυν πάντα ποιοῦντες, δίκην παρ' αὐτοῦ οὐκ ἂν δύνησθε λαβεῖν, πῶς οὐκ αἰσχρὸν ὑμῖν καὶ ἡντινοῦν[6] ἀπολιπεῖν, ἥντινά τις βούλοιτο παρὰ τούτων λαμβάνειν;

§ 19. Πᾶν δ' ἂν μοι δοκεῖ τολμῆσαι, ὅστις νυνί, οὐχ ἑτέρων ὄντων τῶν δικαστῶν, ἀλλ' αὐτῶν τῶν κακῶς πεπονθότων, ἥκει ἀπολογησόμενος πρὸς αὐτοὺς τοὺς μάρτυρας τῆς τούτου πονηρίας. Τοσοῦτον δ' ὑμῶν καταπεφρόνηκεν, ἢ ἑτέροις πεπίστευκεν. Ὧν ἀμφοτέρων ἄξιον ἐπιμεληθῆναι, ἐνθυμουμένους, ὅτι οὔτ' ἂν ἐκεῖνα δύναντο ποιεῖν, μὴ ἑτέρων συμπραττόντων, οὔτ' ἂν νῦν ἐπεχείρησαν ἐλεῖν, μὴ ὑπὸ τῶν αὐτῶν οἰόμενοι σωθήσεσθαι, οἳ οὐ τούτοις[2] ἥκουσι βοηθήσοντες, ἀλλὰ ἡγούμενοι πολλὴν ἄδειαν σφίσιν ἔσεσθαι ἐκ τῶν πεπραγμένων, καὶ τοῦ λοιποῦ ποιεῖν[3] ὅ,τι ἂν βούλωνται, εἰ τοὺς μεγίστων κακῶν αἰτίους λαβόντες ἀφήσετε.

§ 20. Ἀλλὰ καὶ τῶν συνεργούντων αὐτοῖς ἄξιον θαυμάζειν, πότερον ὡς καλοὶ κἀγαθοὶ αἰτήσονται[2], τὴν αὐτῶν ἀρετὴν πλείονος ἀξίαν ἀποφαίνοντες τῆς πονηρίας· ἐβουλόμην μέντ' ἂν αὐτούς[3] οὕτω προθύμους εἶναι σώζειν τὴν πόλιν, ὥσπερ οὗτοι[4] ἀπολλῦναι. Ἢ ὡς δεινοὶ λέγειν ἀπολογήσονται, καὶ τὰ τούτων ἔργα πολλοῦ ἄξια ἀποφανοῦσιν; ἀλλ' οὐχ ὑπὲρ ὑμῶν οὐδεὶς αὐτῶν οὐδὲ τὰ δίκαια

---

παρέλιπε. — 4. Ἀξίαν ... λάβοιτε.) Δίκην· ἀπὸ κοινοῦ. — 5. Ἀλλὰ γάρ.) Ὁ Γὰρ ἐνταῦθα παρέλκει· οἷον· ἀλλ' εἰ τὰ χρήμ. — 6. Καὶ ἡντιναοῦν.) Ἀπολιπεῖν καὶ Ἥν τινα οὖν Δίκην δύνασθαι λαβεῖν.

§ 19. 2. Οἳ οὐ τούτοις.) Οἱ συμπράττοντες ῥήτορες. — 3. Καὶ τοῦ λοιποῦ ποιεῖν.) Καὶ ἔσεσθαι ἄδειαν ἵνα τὸ λοιποῦ ποιῶσιν πᾶν ὅ,τι ἂν βούλωνται.

§ 20. 2. Αἰτήσονται) Ἐρατοσθένη καὶ τοὺς σὺν αὐτῷ. — 3. Αὐτούς.) Τοὺς αἰτήσοντας. — 4. Οὗτοι.) Ἐρατοσθέ-

Ε.Σ. Δήτης Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πώποτε ἐπεχείρησεν εἰπεῖν. Ἀλλὰ τοὺς μάρτυρας ἄξιον ἰδεῖν, οἳ τούτοις μαρτυροῦντες, αὐτῶν κατηγοροῦσι· σφόδρα ἐπιλήσμονας καὶ εὐήθεις νομίζοντες[5] ὑμᾶς εἶναι, εἰ διὰ[6] μὲν τοῦ ὑμετέρου πλήθους ἀδεῶς ἡγοῦνται τοὺς τριάκοντα σώσειν, διὰ δὲ Ἐρατοσθένην καὶ τοὺς συνάρχοντας αὐτοῦ, δεινὸν ἦν καὶ τῶν τεθνεότων ἐπ' ἐκφορὰν ἐλθεῖν. Καί τοι οὗτοι μὲν σωθέντες, πάλιν ἂν δύναιντο τὴν πόλιν ἀπολέσαι· ἐκεῖνοι δὲ, οὓς οὗτοι ἀπώλεσαν, τελευτήσαντες τὸν βίον, πέρας ἔχουσι τῆς παρὰ τῶν ἐχθρῶν τιμωρίας. Οὐκοῦν δεινὸν, εἰ τῶν μὲν ἀδίκως τεθνεώτων οἱ φίλοι συναπώλλυντο,[7] αὐτοῖς δὲ[8] τοῖς τὴν πόλιν ἀπολέσασιν, ἤπου ἐπ' ἐκφορὰν πολλοὶ ἥξουσιν, ὁπότε βοηθεῖν τοσοῦτοι παρασκευάζονται.

§ 21. Καὶ μὲν δὴ πολὺ ῥᾷον ἡγοῦμαι εἶναι, ὑπὲρ ὧν ὑμεῖς ἐπάσχετε, ἀντειπεῖν, ἢ περὶ ὧν οὗτοι πεποιήκασιν, ἀπολογήσασθαι. Καί τοι λέγουσιν, ὡς Ἐρατοσθένει ἐλάχιστα τῶν τριάκοντα κακὰ εἴργασται, καὶ διὰ τοῦτο αὐτὸν ἀξιοῦσι σωθῆναι. Ὅτι δὲ τῶν ἄλλων Ἑλλήνων πλεῖστα εἰς ὑμᾶς ἐξημάρτηκεν, οὐκ οἴονται χρῆναι αὐτὸν ἀπολέσθαι· ὑμεῖς δὲ δείξατε, ἥν τινα γνώμην ἔχετε περὶ τῶν πραγμάτων. Εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες, καὶ οὐχ ἕξετε λέγειν,[2] ὅτι τὰ ὑπὸ τῶν τριάκοντα προσταχθέντα ἐποιεῖτε. Νυνὶ μὲν γὰρ οὐδεὶς ὑμᾶς ἀναγκάζει παρὰ τὴν ὑμετέραν γνώμην ἀποψηφίζεσθαι. Ὥστε συμβουλεύω, μὴ τούτων ἀποψηφισαμένους, ὑμῶν αὐτῶν καταψηφίσασθαι. Μηδ' οἴεσθε κρύβδην[3] τὴν ψῆφον· φανερὰν γὰρ τῇ πόλει τὴν ὑμετέραν γνώμην ποιήσετε.

§ 22. Βούλομαι δὲ ὀλίγα ἑκατέρους ἀναμνήσας καταβαίνειν,[2] τούς τε ἐξ ἄστεος καὶ τοὺς ἐκ Πειραιῶς· ἵνα τὰς ὑμῖν διὰ τοῦτον γεγενημένας συμφορὰς παραδείγματα ἔχοντες, τὴν ψῆφον φέρητε. Καὶ πρῶτον μὲν ὅσοι ἐξ ἄστεος ἐστὲ, σκέψασθε, ὅτι ὑπὸ τούτων οὕτω σφόδρα ἤρχεσθε, ὥστε ἀδελφοῖς καὶ υἱέσι καὶ

---

νης καὶ οἱ συνεργοῦντες αὐτῷ. — 5. Νομίζοντες.) Ἀντὶ Νομίζοντας· πρὸς γὰρ τὸ Μάρτυρας φέρεται· ἐπειδὴ δὲ διὰ τοῦ ἀναφορικοῦ Οἳ, ὤρθωσε τὸ σχῆμα τοῦ λόγου, τούτῳ συνεφώνησε τὴν μετοχὴν Ἀττικῶς. — 6. Εἰ διά.) Ἐπειδὴ διὰ μὲν τοῦ πλήθους οὗτοι ἡγοῦνται ἀφόβως σώσειν τοὺς τριάκ. Ἐρατοσθένης δὲ καὶ οἱ συνάρχοντες αἴτιοι ἐγένοντο μηδ' ἐξεῖναι αὐτοῖς ἐπ' ἐκφορὰν τῶν τεθνεώτων ἐλθεῖν· ἡ δὲ γενικὴ αὐτοῦ κτητικῶς εἰς τὸ συνάρχοντας καταφορὰν σημαίνον, ὡς κτήματα γὰρ τίθησιν αὐτοὺς Ἐρατοσθένους. — 7. Συναπώλλυντο.) Ἐπ' ἐκφορὰν αὐτῶν ἐλθόντες· τοῦτο ἐννοεῖται ἐκ τοῦ ἑξῆς. — 8. Αὐτοῖς δέ.) Οἷον· ὁπότε δὲ βοηθεῖν αὐτοῖς τοῖς τὴν πόλιν ἀπολέσασι τοσοῦτοι παρασκευάζονται, ἤπου πολλοὶ ἐπ' ἐκφορὰν αὐτῶν ἥξουσι.

§ 21. 2. Καὶ οὐχ ἕξετε λέγειν.) Ὥσπερ οὗτος λέγει. — 3. Κρύβδην.) Ἐν ὑδρίαις γὰρ καδίσκοις ἐτίθεντο τὰς ψήφους· καὶ ἵνα μὴ γνωσθῇ ἕκαστος· κἂν τοῖς ὑδρίαις τὴν χεῖρα ἐτίθει.

§ 22. 2. Καταβαίνειν.) Ἀπὸ τοῦ βήματος· ἔνθα ἀνέβαινον οἱ ῥήτορες, καὶ

πολίταις ἠναγκάζεσθε πολεμεῖν τοιοῦτον πόλεμον, ἐν ᾧ ἡττηθέντες[3] μέν, τοῖς νικήσασι τὸ ἴσον εἴχετε, νικήσαντες δ' ἄν, τούτοις ἐδουλεύετε. Καὶ τοὺς ἰδίους οἴκους οὗτοι μὲν ἂν ἐκ τῶν πραγμάτων[4] μεγάλους ἐκτήσαντο, ὑμεῖς δὲ διὰ τὸν πρὸς ἀλλήλους πόλεμον ἐλάττους εἴχετε. Συνωφελεῖσθαι μὲν γὰρ ὑμᾶς οὐκ ἠξίουν, συνδιαβάλλεσθαι[5] δ' ἠνάγκαζον· εἰς τοσοῦτον ὑπεροψίας ἐλθόντες, ὥστε οὐ τῶν ἀγαθῶν κοινούμενοι, πιστοὺς ὑμᾶς ἐκτῶντο, ἀλλὰ τῶν ὀνειδῶν μεταδιδόντες, εὔνους ᾤοντο εἶναι. Ἀνθ' ὧν ὑμεῖς νῦν ἐν τῷ θαῤῥαλέῳ ὄντες, καθ' ὅσον δύνασθε, καὶ ὑπὲρ ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν ἐκ Πειραιέως τιμωρήσασθε. Ἐνθυμηθέντες μέν, ὅτι ὑπὸ τούτων πονηροτάτων ὄντων ἤρχεσθε, ἐνθυμηθέντες δέ, ὅτι μετ' ἀνδρῶν ἀρίστων νῦν πολιτεύεσθε, καὶ τοῖς πολεμίοις μάχεσθε, καὶ περὶ τῆς πόλεως βουλεύεσθε· ἀναμνησθέντες δὲ τῶν ἐπικούρων οὓς οὗτοι φύλακας τῆς σφετέρας ἀρχῆς[6] καὶ τῆς ὑμετέρας δουλείας εἰς τὴν ἀκρόπολιν κατέστησαν. Καὶ πρὸς ὑμᾶς[7] μέν, ἔτι πολλῶν ὄντων εἰπεῖν, τοσαῦτα λέγω.

§ 23. Ὅσοι δ' ἐκ Πειραιῶς ἐστέ, πρῶτον μὲν τῶν ὅπλων ἀναμνήσθητε, ὅτι πολλὰς μάχας ἐν τῇ ἀλλοτρίᾳ μαχεσάμενοι, οὐχ ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὸ τούτων,[2] εἰρήνης οὔσης, ἀφῃρέθητε τὰ ὅπλα· ἔπειθ' ὅτι ἐξεκηρύχθητε μὲν ἐκ τῆς πόλεως, ἣν ὑμῖν οἱ πατέρες παρέδοσαν, φεύγοντας δὲ ὑμᾶς ἐκ τῶν πόλεων ἐξῃτοῦντο.[3] Ἀνθ' ὧν ὀργίσθητε μέν, ὥσπερ ὅτ'[4] ἐφεύγετε· ἀναμνήσθητε δὲ καὶ τῶν ἄλλων κακῶν, ἃ πεπόνθατε ὑπ' αὐτῶν· οἳ τοὺς μὲν ἐκ τῆς ἀγορᾶς, τοὺς δ' ἐκ τῶν ἱερῶν συναρπάζοντες βιαίως ἀπέκτεινον· τοὺς δέ, ἀπὸ τέκνων καὶ γονέων καὶ γυναικῶν ἀφέλκοντες, φονέας αὐτῶν ἠνάγκασαν γενέσθαι, καὶ οὐδὲ ταφῆς τῆς νομιζομένης εἴασαν τυχεῖν· ἡγούμενοι τὴν αὐτῶν ἀρχὴν βεβαιοτέραν εἶναι τῆς παρὰ τῶν θεῶν τιμωρίας. Ὅσοι δὲ[5] τὸν θάνατον διέφυγον, πολλαχοῦ κινδυνεύσαντες, καὶ εἰς πολλὰς πόλεις πλανηθέντες, καὶ πανταχόθεν ἐκκηρυττόμενοι,[6] ἐνδεεῖς ὄντες τῶν ἐπιτηδείων, οἱ μὲν ἐν πολεμίᾳ τῇ πατρίδι[7] τοὺς παῖδας

---

ἐδημηγόρουν. — 3. Ἐν ᾧ ἡττηθέντες.) Ἐν τούτῳ τῷ πολέμῳ νικήσαντες μὲν δοῦλοι τῶν τριάκοντα εἴητε, ἡττηθέντες δὲ ὑπὸ τῶν ἐκ τοῦ Πειραιῶς, τούτοις ἰσότιμοι εἴητε. — 4. Ἐκ τῶν πραγμάτων.) Τῶν τό τε ὑπαρχόντων — 5. Συνδιαβάλλεσθαι.) Λέγει περὶ τοῦ μίσους καὶ τῆς διαβολλῆς, ἃς ἐνέσπειρον τοῖς πολίταις ὑπὲρ τῆς ἑαυτῶν ὠφελείας. — 6. Τῆς σφετέρας ἀρχῆς.) Τῆς ἑαυτῶν δηλ. — 7. Πρὸς ὑμᾶς.) Τοὺς ἐξ ἄστεος δηλ.

§ 23. 2. Ἀλλ' ὑπὸ τούτων.) Τῶν τριάκοντα τυράννων. — 3. Ἐξῃτοῦντο.) Ὅπου γὰρ οἱ ἀποκηρυχθέντες ἐπορεύοντο, ἐξῃτοῦντο ὑπὸ τῶν τριάκοντα τυράννων. — 4. Ὥσπερ ὅτ'.) Καθάπερ ὠργίζεσθε, ὅτ' ἐφεύγ. — 5. Ὅσοι δέ.) Ὑμῶν. — 6. Ἐκκηρυττόμενοι.) Ἐνηλλάγη ὁ χρόνος τὸ βέβαιον δηλῶν καὶ τὸ συνεχὲς τῆς ἁπανταχόθεν ἐκκηρύξεως. — 7. Ἐν πολεμίᾳ τῇ πατρίδι.) Ἐν τῇ πατρίδι ἥτις

καταλιπόντες, οἱ δ' ἐν ξένῃ γῇ, πολλῶν ἐναντιουμένων, ἤλθετε εἰς τὸν Πειραιᾶ. Πολλῶν δὲ καὶ μεγάλων κινδύνων ὑπαρξάντων, ἄνδρες ἀγαθοὶ γενόμενοι, τοὺς μὲν[8] ἠλευθερώσατε, τοὺς δ'[9] εἰς τὴν πατρίδα κατηγάγετε. Εἰ δὲ ἐδυστυχήσατε, καὶ τούτων ἡμάρτετε, αὐτοὶ μὲν ἂν δείσαντες ἐφεύγετε μὴ πάθητε[10] τοιαῦτα, οἷα καὶ πρότερον· καὶ οὔτε ἂν ἱερά, οὔτε βωμοὶ ὑμᾶς ἀδικουμένους διὰ τοὺς τούτων τρόπους ὠφέλησαν, ἃ καὶ τοῖς ἀδικοῦσι σωτήρια γίνεται· οἱ δὲ παῖδες ὑμῶν, ὅσοι μὲν ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο· οἱ δ' ἐπὶ ξένης, μικρῶν ἂν ἕνεκα συμβολαίων ἐδούλευον, ἐρημίᾳ τῶν ἐπικουρησόντων.

§ 24. Ἀλλὰ γὰρ οὐ τὰ μέλλοντα ἔσεσθαι βούλομαι λέγειν, τὰ πραχθέντα ὑπὸ τούτων οὐ δυνάμενος εἰπεῖν. Οὐδὲ γὰρ ἑνὸς κατηγόρου, οὐδὲ δυοῖν ἔργον ἐστίν, ἀλλὰ πολλῶν. Ὅμως δὲ τῆς ἐμῆς προθυμίας οὐδὲν ἐλλέλειπται ὑπέρ τε τῶν ἱερῶν, ἃ οὗτοι τὰ μὲν ἀπέδοντο, τὰ δ' εἰσιόντες ἐμίαινον· ὑπέρ τε τῆς πόλεως, ἣν μικρὰν ἐποίουν· ὑπέρ τε τῶν νεωρίων, ἃ καθεῖλον· καὶ ὑπὲρ τῶν τεθνεώτων, οἷς ὑμεῖς, ἐπειδὴ ζῶσιν ἐπαμῦναι οὐκ ἠδύνασθε, ἀποθανοῦσι βοηθήσατε·[2] οἶμαι δ' αὐτοὺς ὑμῶν τε ἀκροᾶσθαι, καὶ ὑμᾶς εἴσεσθαι τὴν ψῆφον φέροντας· ἡγουμένους,[3] ὅσοι μὲν ἂν τούτων ἀποψηφίσησθε,[4] αὐτῶν θάνατον καταψηφιεῖσθαι· ὅσοι δ' ἂν παρὰ τούτων δίκην[5] λάβωσιν, ὑπὲρ αὐτῶν[6] τιμωρίας πεποιημένους.[7] Παύσομαι κατηγορῶν. Ἀκηκόατε.[8] Ἑωράκατε. Πεπόνθατε. Ἔχετε. Δικάζετε.

---

πολεμία ἦν τότε ὑμῖν. — 8. Τοὺς μέν.) Ἐν Ἀθήναις ὄντας ἐκ τῶν τριάκοντα τυράνν. — 9. Τοὺς δ'.) Ἐν ξένῃ γῇ φεύγοντας. — 10. Μὴ πάθητε.) Ἵνα μὴ πάθητε.

§ 24. 2. Βοηθήσατε.) Ἐνταῦθα ἐνήλλαξε τὰ ῥήματα, ἵνα δείξῃ τὴν τῶν λεγομένων ἀνάγκην. — 3. Ἡγουμένους.) Τοὺς τεθνεῶτας δηλ. — 4. Ἀποψηφίσησθε.) Εἰς δεύτερον πρόσωπον ἵν' εἰς αἰσχύνην κινήσῃ τοὺς ἀκούοντας· ὅθεν καὶ εἰς δήλωσιν τοῦ προσώπου κατ' ἀνάλυσιν ἐξήνεγκε. — 5. Παρὰ τούτων δίκην.) Τιμωρήσονται τούτων, Ἐρατοσθένη καὶ τοὺς συνάρχοντας· τὸ δὲ τρίτον πρόσωπον τὴν ἀμέλειαν δηλοῖ τῶν κριτῶν εἰς τὸ τιμωρεῖσθαι τοὺς κακοὺς ἐπὶ διαβολῇ λεχθέν. — 6. Ὑπὲρ αὐτῶν.) Τῶν τεθνεώτων. — 7. Πεποιημένους.) Ἐννοεῖται τὸ Ἔσεσθαι· ἀντὶ τοῦ ὑπὲρ αὐτῶν τῶν τεθνεώτων τιμωρεῖσθαι Ἐρατοσθ. καὶ τοὺς συνάρχ. — 8. Ἀκηκόατε.) Τὰ κατ' αὐτῶν ἀκηκόατε, ὅσων κακῶν αἴτιοι ἐγένοντο. ἑωράκατε, πολλὰ ἕκαστος ὑμῶν πεπόνθατε, ἔχετε εἰς χεῖρας αὐτούς· ποιήσατε κατ' αὐτῶν δικαίαν τὴν δίκην· τὸ δὲ σχῆμα γοργόν τε ἐστὶ διὰ τὸ ἐπίτομον, καὶ πάθους ἐμφαντικὸν διὰ τὸ ἀσύνδετον.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006